Abhandlungen
der Bayerischen Akademie der Wissenschaften
Philosophisch-historische Abteilung
Neue Folge. Heft 18
1939

Drei dogmatische Schriften Iustinians

von

Eduard Schwartz

Vorgetragen am 3. Juni 1939

München 1939
Verlag der Bayerischen Akademie der Wissenschaften
in Kommission bei der C. H. Beck'schen Verlagsbuchhandlung München

Druck der C. H. Beck'schen Buchdruckerei
in Nördlingen

INHALT

I. IVSTINIANS SCHREIBEN AN ALEXANDRINISCHE MÖNCHE (CONTRA MONOPHYSITAS) 5

II. IVSTINIANS SCHREIBEN GEGEN DIE DREI CAPITEL 45

III. IVSTINIANS EDICT ÜBER DEN RECHTEN GLAUBEN 71

IIII. BEMERKUNGEN 113

V. REGISTER 119

I

IVSTINIANS SCHREIBEN AN ALEXANDRINISCHE MÖNCHE

(CONTRA MONOPHYSITAS)

C = codex Vaticanus 2195 s. X

Ἰουστινιανοῦ τοῦ γεναμένου ἡμῶν βασιλέως λόγον συντεθεικότος δογματικὸν ἔκ τε τῶν θείων γραφῶν καὶ τῶν ἁγίων πατέρων πρὸς τοὺς ἐν τῶι Ἑνάτωι τῆς Ἀλεξανδρέων μοναχοὺς ἀναγκαῖον ἡγησάμεθα τοῦτον δῆλον καταστῆσαι τῆι σῆι μακαριότητι· ἔχει δὲ οὕτως PG 86, 1104

1 Πρώτην εἶναι σωτηρίαν ἅπασιν ἀνθρώποις ἡγούμεθα τὴν τῆς ὀρθῆς πίστεως ὁμολογίαν, μάλιστα τοῖς τὸν μονήρη βίον ἀνελομένοις. εἰ γὰρ τὸ σῶμα παιδεύειν σπουδάζουσι, πολλῶι μᾶλλον τὴν ψυχὴν εἰς τὴν περὶ θεὸν πίστιν παιδαγωγεῖν ὀφείλουσι, δι' ἧς τῆς αἰωνίας ζωῆς ἀπολαύειν ἐλπίζομεν. τοῦ γὰρ τελειοτέρου τῆς πίστεως ἔργου μὴ συναρμοζομένου τῆι πράξει, λείπεται νεκρὰν εἶναι κατὰ τὸ γεγραμμένον τὴν χωρὶς πίστεως ἐργασίαν· οὐδεὶς γάρ φησι, στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσηι. καὶ τὸ μὲν ἀρρωστῆσαι τῆς κοινῆς φύσεώς ἐστι καὶ τῆς ἀσθενείας τῆς ἀνθρωπίνης, ἣ πάντων ἅπτεται καὶ τῶν λίαν ἰσχυρῶν τὴν διάνοιαν· τὸ δὲ θεραπευθῆναι καὶ τὴν ὀρθὴν ἐπιγνῶναι πίστιν καὶ τὴν τῆς ἐκκλησίας ἕνωσίν τε καὶ εἰρήνην ἀσπάσασθαι, τοῦ λογισμοῦ καὶ τῆς χάριτος. εἰρήνη γὰρ ὁ θεὸς ἔστιν τε καὶ ὀνομάζεται, ὥστε θεοῦ τοῦτο καὶ τῶν θείων ἐγγὺς ὅσοι τὸ τῆς πίστεως καὶ εἰρήνης ἀγαθὸν ἀσπαζόμενοι φαίνονται. ταῦτα δέ φαμεν πρὸς τὴν ὑμετέραν θεοφίλειαν, μεμαθηκότες ἐκ τῶν γραφέντων ἡμῖν παρὰ τοῦ μακαριωτάτου ἀρχιεπισκόπου τῆς Ἀλεξανδρέων καὶ πατριάρχου Ζωίλου ὅτι τὴν τῶι θεῶι φίλην εἰρήνην ἀσπασάμενοι προσεδράμετε τῆι ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι εὑρηκότες ὀρθὰ εἶναι τὰ ἐν αὐτῆι κηρυττόμενα δόγματα, δι' ὧν πᾶσα μὲν αἵρεσις ἀπελήλαται, κατακέκριται δὲ καὶ ἐκβέβληται ἥ τε Παύλου καὶ Νεστορίου διαίρεσις τῶν τοῖς τῆς ψυχῆς ὄμμασι τυφλωττόντων καὶ κατὰ τὴν τῶν Ἰουδαίων μανίαν τὴν θεότητα τοῦ Χριστοῦ ἀπαρνουμένων, ὁμοίως δὲ κατακέκριται καὶ ἐκβέβληται ἡ Ἀπολιναρίου τε καὶ Εὐτυχοῦς συναίρεσις ἤγουν σύγχυσις τῶν ἀθετούντων τὴν τοῦ Χριστοῦ ἀληθινὴν ἀνθρωπότητα. ὅθεν προτρέπομεν τὴν ὑμετέραν θεοφίλειαν τοὺς τῆς πίστεως λοιπὸν καρποὺς ἐπιδείξασθαι καὶ τοὺς ἔτι τῆι πλάνηι κρατουμένους ὁδηγῆσαι πρὸς τὴν ἀλήθειαν καὶ προσαγαγεῖν τῆι ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι, ἧς τὸ ἀληθὲς καὶ σωτήριον κήρυγμα προιόντες ἀποδείξομεν διά τε τῶν θείων γραφῶν καὶ τῶν πατρικῶν παραδόσεων καὶ τὴν τῶν εἰρημένων ἀσεβῶν αἱρετικῶν κακόνοιαν διελέγξομεν. 1105

2 Κηρύττει γὰρ ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία μονάδα ἐν τριάδι καὶ τριάδα ἐν μονάδι· εἷς γὰρ θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, καὶ ἓν πνεῦμα ἅγιον, ἐν ὧι τὰ πάντα, τὸ ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ὧι μὴ φύσεσι τεμνόντων ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας. μίαν γὰρ οὐσίαν ἐν τρισὶν ὑποστάσεσι προσκυνοῦμεν ἐν ἑκάστηι ὑποστάσει τὴν αὐτὴν ἐπιθεωροῦντες οὐσίαν. καὶ ἑκάστην μὲν τῶν ὑποστάσεων μοναχῶς ἐξαγγέλλομεν, ἐπειδὰν δὲ συναριθμῆσαι δέηι, οὐχὶ ἀπαιδεύτωι ἀριθμήσει πρὸς πολυθείας ἔννοιαν ἐκφερόμεθα. οὐδὲ γὰρ κατὰ σύνθεσιν ἀριθμοῦμεν ἀφ' ἑνὸς εἰς πλῆθος ποιούμενοι τὴν παραύξησιν, ἀλλὰ τὸ ἰδιάζον τῶν ὑποστάσεων ὁμολογοῦντες μένομεν ἐπὶ τῆς μοναρχίας εἰς πλῆθος ἀπεσχισμένον τὴν θεολογίαν μὴ σκεδαννύντες διὰ τὸ μίαν ἐν πατρὶ καὶ υἱῶι καὶ ἁγίωι πνεύματι τὴν οἱονεὶ μορφὴν θεωρεῖσθαι τῶι ἀπαραλλάκτωι τῆς φύσεως ἐνιζομένην. καὶ θεὸν οὖν ἕκαστον ὁμολογοῦμεν, ἂν θεωρῆται μόνον τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα, καὶ θεὸν τὰ τρία μετ' ἀλλήλων νοοῦμεν τῶι ταυτῶι τῆς κινήσεως καὶ τῆς φύσεως. τριὰς οὖν ὡς ἀληθῶς ἡ τριάς, τριὰς δὲ οὐ πραγμάτων ἀνίσων ἀπαρίθμησις, ἀλλ' ἴσων καὶ ὁμοτίμων σύλληψις, ἑνούσης τῆς προσηγορίας τὰ ἡνωμένα ἐκ φύσεως καὶ οὐκ ἐώσης σκεδασθῆναι ἀριθμῶι λελυμένωι τὰ μὴ λυόμενα.

C
28 postulatur τῶν

Ὁμολογοῦμεν δὲ ὅτι ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ, ὁ σὺν πατρὶ καὶ ἁγίωι πνεύματι 3
δοξαζόμενός τε καὶ προσκυνούμενος, ὁ γεννηθεὶς ἐκ τοῦ πατρὸς ἀχρόνως καὶ ἀσωμάτως, τὸ ἐκ τοῦ
φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου, ἡ μὴ κινουμένη
σφραγίς, ἡ ἀπαράλλακτος εἰκών, ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος οὐ περιεῖδεν τὸν ἄνθρωπον φθόνωι
διαβόλου καὶ πικρᾶι γεύσει τῆς ἁμαρτίας θεοῦ τοῦ πεποιηκότος ἐλεεινῶς χωριζόμενον, ἀλλὰ τὴν
1108 ἡμετέραν ἐργαζόμενος σωτηρίαν ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ καὶ σαρκοῦται διὰ τὴν ἐμὴν σάρκα
καὶ ψυχῆι νοερᾶι διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται τῶι ὁμοίωι τὸ ὅμοιον ἀνακαθαίρων καὶ πάντα γίνε-
ται πλὴν τῆς ἁμαρτίας ἄνθρωπος. καὶ ὁ ἐπιβεβηκὼς ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατ' ἀνατολὰς
τῆς ἰδίας δόξης ἐπὶ δυσμῶν τῆς ἡμετέρας ἀσθενείας δοξάζεται· τὴν γὰρ θείαν καὶ ὑπερέχουσαν
δύναμιν οὐκ οὐρανῶν μεγέθη καὶ φωστήρων αὐγαὶ καὶ ἡ τοῦ παντὸς διακόσμησις καὶ ἡ διηνεκὴς
τῶν ὄντων οἰκονομία τοσοῦτον ὅσον ἡ ἐπὶ τὸ ἀσθενὲς τῆς φύσεως ἡμῶν συγκατάβασις δείκνυσι.
πῶς τὸ ὑψηλὸν ἐν τῶι ταπεινῶι γενόμενον καὶ ἐν τῶι ταπεινῶι καθορᾶται καὶ οὐ καταβαίνει τοῦ
ὕψους; θεότης γὰρ ἀνθρωπίνηι συμπλακεῖσα φύσει καὶ τοῦτο γίνεται κἀκεῖνό ἐστιν, δι' ὃ τέλειον
θεὸν καὶ τέλειον ἄνθρωπον τὸν αὐτὸν ὁμολογοῦμεν ὑπὲρ ὅλου τοῦ πεπονθότος, ἵνα ὅλωι μοι τὴν
σωτηρίαν χαρίσηται ὅλον τὸ κατάκριμα λύσας τῆς ἁμαρτίας. κενοῦται γὰρ ὁ πλήρης, κενοῦται
δὲ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρόν, ἵνα ἐγὼ μεταλάβω τῆς ἐκείνου πληρότητος.

c. Apoll. 2, 11 [PG 26, 1152]

Καὶ ὁ πλουτίζων πτωχεύει· 'πῶς δὲ πτωχεύει πλούσιος ὤν'; λέγει ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν 4
τῶι περὶ τῆς σωτηριώδους ἐπιφανείας λόγωι, 'ὅτι τὴν πτωχεύσασαν φύσιν ἐν ἑαυτῶι ἀνελάβετο,
ἐν ἰδίαι δικαιοσύνηι ταύτην προβαλόμενος ὑπὲρ ἀνθρώπων πάσχουσαν καὶ ἐξ ἀνθρώπων οὖσαν
καὶ ὑπὲρ ἀνθρώπους φανερωθεῖσαν καὶ θεοῦ ὅλην γενομένην', ἵνα καὶ ἄνθρωπος ᾖι ὁ θεὸς ἀληθῶς
καὶ θεὸς ἄνθρωπος ἀληθῶς, θεοῦ τοῦ μονογενοῦς εὐδοκήσαντος τῶι πληρώματι τῆς θεότητος
αὐτοῦ τὴν τοῦ ἀρχετύπου πλάσιν ἀνθρώπου καὶ ποίησιν καινὴν ἐκ μήτρας παρθένου ἀναστήσασθαι
ἑαυτῶι φυσικῆι γεννήσει καὶ ἀλύτωι ἑνώσει.

Τούτοις οὖν ἀκολουθοῦντες τοῦ αὐτοῦ τὰ θαύματα καὶ τὰ πάθη ἅπερ ἑκουσίως ὑπέμεινεν σαρκί, 5
γινώσκομεν. οὔτε γὰρ τετάρτου προσώπου προσθήκην ἐπιδέχεται ἡ ἁγία τριὰς τοῦ ἑνὸς τῆς
τριάδος θεοῦ λόγου σαρκωθέντος καὶ ἐνανθρωπήσαντος, καὶ οὐκ ἄλλον τὸν θεὸν λόγον καὶ ἄλλον
τὸν Χριστὸν ἐπιστάμεθα, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν θεὸν λόγον κύριον Ἰησοῦν Χριστὸν ὁμολογοῦ-
μεν. καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτήρ, εἴπερ μὴ ταυτὸν τὸ ὁρατὸν
τῶι ἀοράτωι καὶ τὸ ἄχρονον τῶι ὑπὸ χρόνον· οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο. εἷς γὰρ ἐξ
ἀμφοῖν καὶ δι' ἑνὸς ἀμφότερα· ὅθεν ἐπὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ ἄλλο καὶ ἄλλο ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ λέγοντες οὐ δύο υἱοὺς ἢ δύο ὑποστάσεις ἢ δύο
πρόσωπα εἰσάγομεν, ἀλλ' ἐξ ὧν ἐστιν, ἐν αὐτοῖς αὐτὸν εἶναι γνωρίζομεν. οὕτω γὰρ καὶ τὸ
διάφορον τῆς θεότητος αὐτοῦ καὶ τῆς σαρκὸς παριστῶμεν ἀναιροῦντες τὴν Εὐτυχοῦς συνουσίω-
σιν καὶ μίαν αὐτοῦ τὴν ὑπόστασιν ὁμολογοῦμεν βδελυττόμενοι τὴν Νεστορίου διαίρεσιν. τοῦτο
γὰρ καὶ ὁ ἐν ἁγίοις λέγει Κύριλλος ἐν τῶι τρίτωι τόμωι τῶι πρὸς Νεστόριον

c. Nestor. 3, 2 [Act. Concil. I 1, 6 p. 60, 39]

Οὐ γὰρ ὅτι γέγονεν καθ' ἡμᾶς, τὸ εἶναι θεὸς ἀπολέσει ποτέ, οὔτε μὴν ὅτι θεὸς κατὰ φύσιν ἐστίν, 6
τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἀπαράδεκτον ἔχει καὶ τὸ ἄνθρωπος εἶναι παραιτήσεται, μεμένηκεν δὲ
ὥσπερ ἐν ἀνθρωπότητι θεός, οὕτω καὶ ἐν φύσει τε καὶ ὑπεροχῆι θεότητος ὢν ἄνθρωπος οὐδὲν
ἧττόν ἐστιν. ἄμφω δὴ οὖν ἐν ταυτῶι καὶ εἷς θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ Ἐμμανουήλ.

1109 Δεῖ κἀνταῦθα τοῖς παρὰ τοῦ πατρὸς εἰρημένοις ἐπισκέψαι· τὴν γὰρ ἐν πρόθεσιν ἐπὶ τῶν δύο 7
φύσεων τῆς θείας τε καὶ ἀνθρωπίνης, ἐν αἷς ὁ Χριστὸς γνωρίζεται, ὁμολογεῖν ἡμᾶς ἐκδιδάσκει,

---

10–11 cf. Basil. de spir. 18 [Exc. Ephes. XV] 28–29 cf. Gregor. Naz. ep. 101 [Exc. Ephes. XIIII]

ἣν πρόθεσιν οἱ αἱρετικοὶ ἀρνοῦνται ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ ἁρμόζειν, διαίρεσιν δῆθεν προφασιζόμενοι διὰ ταύτης γίνεσθαι, ἀγνοοῦντες ὅτι αὕτη ἡ πρόθεσις τὴν ἕνωσιν ἀσύγχυτον καὶ ἀδιαίρετον φυλάττει. ὅθεν καὶ ἡ θεία γραφὴ τῇι τοιαύτηι κέχρηται προθέσει ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. λέγει γοῦν ὁ θεσπέσιος ἀπόστολος Παῦλος· τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ, ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος. εἰπὼν δὲ ὁ ἀπόστολος ἐν μορφῆι θεοῦ ὑπάρχειν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ καὶ ἐπαγαγὼν μορφὴν δούλου λαβόντα αὐτὸν ἐν ὁμοιώματι γενέσθαι ἀνθρώπων καὶ σχήματι εὑρεθῆναι ὡς ἄνθρωπον, οὐδὲν ἕτερον ἡμᾶς ἐκδιδάσκει ἢ τὸ ἐν ἑκατέραι μορφῆι τὸν κύριον εἶναι, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι. ἀμέλει τοι καὶ ὁ ἐν ἁγίοις Κύριλλος τοῦτο τὸ ῥητὸν ἑρμηνεύων ἐν τῶι πρὸς Θεοδόσιον λόγωι γράφει τάδε

Phil. 2, 5–7

8 Ὁ συναίδιος τῶι θεῶι καὶ πατρὶ θεὸς λόγος μορφὴν δούλου λαβὼν ἔστιν ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος, οὐκ ἐκ μόνης θεότητος καὶ σαρκὸς εἰς ἕνα Χριστὸν καὶ κύριον καὶ υἱὸν συγκείμενος, ἀλλ' ἐκ δυοῖν τελείοιν, ἀνθρωπότητος λέγω δὴ καὶ θεότητος, εἰς ἕνα καὶ τὸν αὐτὸν παραδόξως συνδούμενος.

Act. Conc. I 1, 1 p. 57, 15–18

9 Ἰδοὺ δὲ σαφῶς πάλιν ὁ πατὴρ ἐν θεότητι καὶ ἀνθρωπότητι τὸν Χριστὸν ὑπάρχειν ὁμολογεῖ, ὥσπερ δὲ τὸ ἐκ θεότητος καὶ ἀνθρωπότητος ἐκ δύο φύσεων σημαίνει, οὕτω καὶ τὸ ἐν θεότητι καὶ ἀνθρωπότητι ἐν δυσὶ φύσεσιν εἶναί τε καὶ γνωρίζεσθαι τὸν Χριστὸν δηλοῖ. ὅτι δὲ τὸ ἔκ τινων συνεστάναι λεγόμενον ἐὰν μὴ ἐν αὐτοῖς γνωρίζηται ἐξ ὧν καὶ συνέστη, σύγχυσιν καὶ ἀφανισμὸν τῶν συνελθόντων ποιεῖ πραγμάτων, σαφὲς καθέστηκεν ἐξ ὧν πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος κατὰ τῶν Συνουσιαστῶν λέγει τάδε

10 Εἰ δὲ ὡς ἐν τάξει τῶν ὑγρῶν ἀναμεμῖχθαί φασιν ἀλλήλοις σάρκα τε καὶ λόγον, πῶς ἠγνόησαν ὅτι τὰ ἀλλήλοις ἀνακιρνάμενα τῶν ὑγρῶν, οἶνος φέρε εἰπεῖν καὶ μέλι, ὃ μὲν ἦσαν, εἰσὶ καθαρῶς οὐκέτι, προσλήψει δὲ μᾶλλον τῆς ἑτεροειδοῦς ποιότητος εἰς ἕτερόν τι μεθίσταται; οὐκοῦν εἰ συγκεκρᾶσθαί φασι τῶι λόγωι τὴν σάρκα, πᾶσά πως ἀνάγκη λέγειν ἑκάτερον τῶν ὠνομασμένων ἀποστῆναι μὲν τοῦ εἶναι ὃ ἦν, ἓν δέ τι τὸ ἐξ ἀμφοῖν ἀποτελέσαι μέσον ἑτεροφυές που πάντως ἢ ὅπερ ἦν ἑκάτερον ἀνὰ μέρος.

11 Ἀποδεδειγμένου τοίνυν ὅτι ἐπὶ τῶν μὴ σωιζομένων μετὰ τὴν σύνθεσιν σύγχυσις γίνεται, δῆλον ὅτι ἐφ' ὧν μὴ σύγχυσις μηδὲ ἀφανισμὸς τῶν συνελθόντων πραγμάτων ἐστίν, τὸ ἔκ τινος συντεθὲν καὶ ἐν αὐτοῖς γνωρίζεται, καὶ πρόδηλον ὅτι οἱ ἐκ δύο φύσεων, τουτέστιν ἐκ θεότητος καὶ ἀνθρωπότητος ἀποτελεσθῆναι τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμολογοῦντες καὶ μὴ σύγχυσιν ἐν αὐτῶι γεγενῆσθαι λέγοντες τῶν συνελθουσῶν οὐσιῶν ἀνάγκην ἔξουσι καὶ ἐν αὐταῖς ταῖς δύο φύσεσιν αὐτὸν ὁμολογεῖν γνωρίζεσθαι, ἐξ ὧν καὶ συνετέθη, ὅπερ ἐστὶν ἐν θεότητι καὶ ἀνθρωπότητι. οὕτω γὰρ οὔτε ἡ διαφορὰ τῶν ἐν Χριστῶι φύσεων ἀναιρεῖται καὶ ἡ τούτων ἕνωσις ἀδιάσπαστος φυλάττεται. ἐπεὶ τίνων λέγουσι διαφοράν, ἐὰν μὴ τὰ Χριστὸν ἀποτελέσαντα ἐν αὐτῶι φυλάττεσθαι δώσωσι; καίτοι τοῦ ἐν ἁγίοις Κυρίλλου ἐν τῶι εἰκοστῶι τετάρτωι λόγωι τοῦ Θησαυροῦ γράφοντος

PG 75, 400

12 Ταῦτα λαλεῖ ὡς ἄνθρωπος, λαλεῖ δὲ καὶ ὡς θεός, ἔχων ἐν ἀμφοτέροις τὴν ἐξουσίαν· ἀνθρωπίνως μὲν γὰρ ἔλεγεν νῦν ἡ ψυχή μου τετάρακται, θεικῶς δὲ πάλιν ἐξουσίαν ἔχω θεῖναι αὐ-

Ioh. 12, 27. 10, 18

C

20 γνωρίζεται C

τὴν καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν. τὸ οὖν ταράττεσθαι τῆς σαρκὸς ἴδιον πάθος, τὸ δὲ ἐξουσίαν ἔχειν θεῖναί τε καὶ πάλιν λαβεῖν τὴν ψυχὴν τῆς τοῦ λόγου δυνάμεως ἔργον ἐστίν.

Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τῶι ὑπομνήματι τοῦ κατὰ Ἰωάννην εὐαγγελίου ἐν τῶι 13
4 ἕκτωι λόγωι τοῦ δευτέρου βιβλίου λέγει

PG 73, 357 Ὡς γὰρ ἤδη τὴν τοῦ δούλου μορφὴν περικείμενος ἄνθρωπος γενόμενος διὰ τὸ ἐνωθῆναι σαρκὶ οὐκ ἐλευθέραν οὐδὲ ἀνιεμένην παντελῶς εἰς θεοπρεπῆ παρρησίαν ἐποιεῖτο τὴν διάλεξιν, ἐχρῆτο δὲ μᾶλλον τοιαύτηι δι' οἰκονομίαν ἔσθ' ὅτε, ἥιπερ ἂν πρέποι θεῶι τε ὁμοῦ καὶ ἀνθρώπωι· καὶ γὰρ ἦν ὄντως κατὰ ταυτὸν ἀμφότερα.

Ἀμφότερα δὲ λέγων ὁ πατὴρ κατὰ ταυτὸν εἶναι τὸν Χριστὸν καὶ ἐν ἀμφοτέροις ἔχειν τὴν ἐξου- 14
10 σίαν, οὐδὲν ἕτερον ἢ ἐν δυσὶ φύσεσιν αὐτὸν ὑπάρχειν τε καὶ γνωρίζεσθαι δηλοῖ· τὸ γὰρ θεός καὶ ἄνθρωπος ἐπὶ τοῦ Χριστοῦ λεγόμενα οὐσιῶν ἐστι σημαντικά.

Καὶ ὅμως οἱ τῆς ἀληθείας ἐχθροὶ πάσας τῶν πατέρων ὑπερβαίνοντες τὰς διδασκαλίας καὶ μάλι- 15
στα τὰς ἐπὶ τῆι κατακρίσει Νεστορίου τοῦ βλασφήμου παρὰ τοῦ ἐν ἁγίοις Κυρίλλου προενηνεγ-
μένας καὶ συνοδικῶς βεβαιωθείσας μόνων τῶν πρὸς Σούκεσσον ὑπομνηστικῶν τοῦ ἐν ἁγίοις Κυρίλ-
15 λου τινὰ πρὸς τὸ δοκοῦν αὐτοῖς παρερμηνεύουσι, τουτέστι τὸ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκω-
μένην καὶ τὸ κατὰ τὸν ἄνθρωπον ὑπόδειγμα καὶ ὅπερ πᾶσιν εἴθισται τοῖς αἱρετικοῖς τὸ ῥήματά
τινα τῶν ἁγίων γραφῶν πρὸς τὴν οἰκείαν ἑρμηνεύειν πλάνην, τοῦτο καὶ αὐτοὶ ποιοῦσι. πλὴν
ἡμεῖς ἐξ αὐτῶν τῶν παρὰ τοῦ πατρὸς εἰρημένων ματαίαν αὐτῶν καὶ τὴν περὶ ταῦτα πλάνην ἀπο-
δείξομεν. τὰ γὰρ ἔμπροσθεν τῶν τοιούτων φωνῶν παρατρέχοντες καὶ τὰ ἑφεξῆς ἀποτεμνόμενοι
20 σπουδάζουσι τὴν οἰκείαν συνιστᾶν πλάνην. εἰρηκότος γὰρ τοῦ πατρὸς ὅτι

ep. ad Succ. 1 [Act. Conc. I 1, 6 p. 153, 21–23] μετὰ τὴν ἕνωσιν οὐ διαιροῦμεν τὰς φύσεις ἀπ' ἀλλήλων οὐδὲ εἰς δύο τέμνομεν υἱοὺς τὸν ἕνα 16
καὶ ἀμέριστον, ἀλλ' ἕνα φαμὲν υἱόν

καὶ δείξαντος ὅτι μετὰ τὴν ἕνωσιν οὐ χρὴ διαιρεῖν τὰς φύσεις, ἀλλ' ἡνωμένας αὐτὰς ἐν Χριστῶι
1113 ὁμολογεῖν, αὐτοὶ ταῦτα παρασιωπῶντες μίαν ἀναπλάττουσι σαρκὸς καὶ θεότητος φύσιν. ὁ μέντοι
25 ἐν ἁγίοις πατὴρ οὐχ ὡς αὐτοὶ φαντάζονται, μίαν σαρκὸς καὶ θεότητος λέγει φύσιν, ἀλλ' ὡς ἀσάρκου
τοῦ λόγου μίαν εἰπὼν τὴν φύσιν οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν τὸ σεσαρκωμένην, ἵνα
διὰ τοῦ σεσαρκωμένην τὴν ἑτέραν ἡμῖν, τουτέστι τὴν ἀνθρωπίνην παραστήσηι φύσιν. ἀμέλει
μὴ ἀρκεσθεὶς τῆι τοιαύτηι λέξει, ἀλλὰ σαφέστερον τὴν ἑαυτοῦ διάνοιαν παραστῆσαι βουλόμενος,
29 ἐπήγαγεν εὐθὺς ἃ πάλιν αὐτοὶ παραλιμπάνουσιν

l.c. p. 153, 23–154, 3 Οὐκοῦν ὅσον μὲν ἦκεν εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς ὄμμασι τίνα τρόπον ἐνην- 17
θρώπησεν ὁ μονογενής, δύο τὰς φύσεις εἶναί φαμεν, ἕνα δὲ Χριστὸν καὶ υἱὸν καὶ κύριον τὸν τοῦ
θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον.

Τί τούτων ἐστὶ σαφέστερον ἢ τίς λοιπὸν τοῖς εὖ φρονοῦσιν ἀμφισβήτησις ὑπολείπεται περὶ τὴν 18
35 ὁμολογίαν τῶν ἐν Χριστῶι δύο φύσεων, τοιαῦτα τοῦ πατρὸς ἡμῖν παραδεδωκότος; ἀλλ' ἐκεῖνοι
διὰ πάντων τὰ ὀρθὰ διαστρέφειν σπουδάζοντες καὶ τοῦτο ταῖς οἰκείαις προστιθέασι ματαιολογίαις
λέγοντες μὴ δεῖν ὁμολογεῖσθαι στόματι τὰ κατὰ τὴν ἔννοιαν καὶ τοῖς τῆς ψυχῆς ὄμμασι θεωρού-
μενα. τῆς δὲ τοιαύτης αὐτῶν κακουργίας οὐδέν ἐστιν ἀλογώτερον· κατὰ γὰρ τὴν αὐτῶν μανίαν
οὐδὲ θεὸν στόματι ὁμολογήσουσιν, ἐπειδὴ κατὰ μόνην ἔννοιαν καὶ τοῖς τῆς ψυχῆς ὄμμασιν αὐτὸν
40 ἐπιστάμεθα. ὅπου γε καὶ αὐτὸς ὁ πατὴρ ἅπερ τοῖς τῆς ψυχῆς ὄμμασιν ἐθεώρησεν, ταῦτα καὶ
εἶπεν καὶ ἐγγράφως ἐξέθετο· οὐδὲ γὰρ ἄλλως ἐπιστάμεθα τὰ ἐκείνωι θεωρηθέντα, εἰ μὴ διὰ τῶν
αὐτοῦ λόγων τε καὶ γραμμάτων. εἰ δὲ κατὰ τὴν τῶν αἱρετικῶν ἄνοιαν τὰ μόνωι τῶι νῶι θεωρού-

23 δείξαντες C

μενα ὁμολογεῖν οὐ προσήκει, πῶς ὁμολογήσουσι τὸ ἐξαίρετον τῆς θεότητος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς μὲν σαρκώσεως αὐτοῦ φαινομένης, τῆς δὲ θεότητος αὐτοῦ μόνωι τῶι νῶι θεωρουμένης; εἰ μέντοι κατὰ τὸν θεῖον ἀπόστολον καρδίαι μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν, πρόδηλον ὅτι τὰ νῶι θεωρούμενα καὶ στόματι ὁμολογεῖται, καθ' ἃ γὰρ ὁ θεολόγος λέγει Γρηγόριος, κίνημα ναρκώντων ἐστὶ νοῦς ἀνεκλάλητος· αἰσχρὸν γὰρ αἰσχρὸν καὶ ἱκανῶς ἄλογον κατὰ ψυχὴν ἐρρωμένους σμικρολογεῖσθαι περὶ τὸν ἦχον καὶ κρύπτειν τὸν θησαυρὸν ὥσπερ ἄλλοις βασκαίνοντας, εἰ μὴ καὶ τὴν γλῶσσαν ἁγιάσητε δεδοικότες.

Rom. 10, 10 4 or. 43 PG 36, 512

19 Τούτων τοίνυν οὕτως ἐχόντων χρὴ πάντας ἀνθρώπους τὸ μέγα τῆς εὐσεβείας προσδεχομένους μυστήριον τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ στόματι ὁμολογεῖν τὰς δύο φύσεις τοῦ Χριστοῦ, τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην. καὶ ἐν τῶι δευτέρωι γὰρ πρὸς τὸν αὐτὸν Σούκεσσον ὑπομνηματικῶι ὁ ἐν ἁγίοις Κύριλλος ἅμα μὲν τὴν ἐκείνου περὶ τὴν ἐνανθρώπησιν ὀρθόδοξον ἀποδεχόμενος πίστιν, ἅμα δὲ τὴν οἰκείαν γνώμην τρανότερον ἀποδεικνὺς ταῦτα παραδίδωσι λέγων

10 14

20 Ὀρθότατα καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτίθεται λόγον, οὐκ αὐτὸν τὸν μονογενῆ τοῦ θεοῦ υἱόν, καθ' ὃ νοεῖται καὶ ἔστι θεός, παθεῖν εἰς ἰδίαν φύσιν τὰ σώματος ἰσχυριζομένη, παθεῖν δὲ μᾶλλον τῆι χοικῆι φύσει. δεῖ γὰρ ἀναγκαίως ἀμφότερα σώιζεσθαι τῶι ἑνὶ καὶ κατὰ ἀλήθειαν υἱῶι, καὶ τὸ μὴ πάσχειν θεικῶς καὶ τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως· ἡ αὐτοῦ γὰρ πέπονθε σάρξ.

l. c. p. 161, 4–8 1116

21 Δῆλον τοίνυν ἐκ τῶν εἰρημένων ὅτι αἱ δύο φύσεις, τουτέστιν ἡ θεία τε καὶ ἀνθρωπίνη, ἐν τῆι μιᾶι ὑποστάσει, ὅπερ ἐστὶν ἐν τῶι ἑνὶ προσώπωι τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σώιζονται. λέγει γὰρ δεῖν ἀμφότερα σώιζεσθαι τῶι ἑνὶ καὶ κατὰ ἀλήθειαν υἱῶι. προσκείμενον δὲ τὸ δεῖν τὴν ἀναντίρρητον αὐτοῦ περὶ τοῦ δόγματος ἡμῖν σαφηνίζει γνῶσιν, καὶ τὸ ἀμφότερα δὲ οὐ μιᾶς ἐστι φύσεως σημαντικόν, ἀλλὰ δύο. καθάπερ γὰρ ὁ αὐτὸς πατὴρ διδάσκει, τὸ μὴ παθεῖν αὐτὸν τῆι θείαι φύσει ἀλλὰ παθεῖν τῆι χοικῆι φύσει οὐκ ἄν τις οὕτω μανείη ὡς μιᾶς εἶναι φύσεως ὑπολαβεῖν. μιᾶς μὲν γὰρ καὶ τῆς αὐτῆς ὑποστάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ πάθος καὶ τὴν ἀπάθειαν ὁμολογεῖν ἐδιδάχθημεν, οὐ μὴν κατὰ τὴν αὐτὴν φύσιν· ἐπὶ μιᾶς γὰρ καὶ τῆς αὐτῆς φύσεως τὰ ἀλλήλοις ἐναντία κατὰ ταυτὸ συμβαίνειν ἀδύνατον.

20 25

22 Ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ καὶ τοῖς τῶν πατέρων ἐναντιούμενοι δόγμασι ταῦτα μὴ διακρίνοντες εἰς ἑτέραν πάλιν μεταπίπτουσιν ἄνοιαν λέγοντες ὅτι οἱ θεὸν καὶ ἄνθρωπον ὁμολογοῦντες τὸν Χριστὸν καὶ μὴ λέγοντες αὐτὸν μιᾶς εἶναι φύσεως ὥσπερ τὸν ἄνθρωπον οὐ δύο μόνον ἐπὶ Χριστοῦ λέγειν ὤφειλον φύσεις, ἀλλὰ τρεῖς· ἑτέρα γὰρ ἡ τοῦ λόγου καὶ ἑτέρα ἡ τῆς ψυχῆς καὶ ἄλλη τοῦ σώματος ἡ φύσις. ταῦτα δὲ λέγοντες οἱ καινοὶ τῶν κακῶν ἐφευρεταὶ εἰπάτωσαν αὐτοὶ συνομολογοῦντες ἡμῖν ἐκ δύο φύσεων εἶναι τὸν Χριστὸν πῶς τοῦτο νοοῦσιν; ἆρα ὡς ψυχὴν ἐκτὸς σώματος ἀνειληφότα ἢ σῶμα χωρὶς ψυχῆς; ἐν γὰρ τῶν ἀτόπων πάντως παρέξουσιν. εἰ δὲ ταύτην τὴν ἀτοπίαν ἐκκλίνοντες καὶ ψυχὴν καὶ σῶμα λέγουσιν ἀνειληφέναι τὸν κύριον, αὐτοὶ ταῖς οἰκείαις παγίσιν ἐμπλεκόμενοι φανήσονται ἐκ τριῶν φύσεων λέγειν τὸν Χριστὸν ἀναγκαζόμενοι. ἀγνοοῦσι δὲ ὅτι τὸ ἄνθρωπος ὄνομα ἄνευ μὲν τῶν ἰδιωμάτων λεγόμενον ἐπὶ κοινοῦ σημαινομένου λαμβάνεται καὶ οὐσίας ἤτοι φύσεώς ἐστι σημαντικὸν καὶ κατὰ πολλῶν ὑποστάσεων λέγεται· ἐπειδὰν δὲ τῶι κοινῶι τὰ ἰδιώματα προστεθῆι, τηνικαῦτα ἡ ὑπόστασις ἀναφαίνεται, ὅτε καὶ διαφορὰ ψυχῆς καὶ σώματος γνωρίζεται. ἀμφότερα γὰρ ἡμᾶς λέγειν καὶ ἡ ἀποστολικὴ διδάσκει παράδοσις. ὁ μὲν γὰρ θεῖος Παῦλος περὶ τῶν καθ' ἕκαστον λέγων καὶ ψυχὴν καὶ

30 35 40

2 Cor. 4, 16 Iac. 3, 7 σῶμα θέλων σημᾶναι τὸν ἐντὸς ἄνθρωπον καὶ τὸν ἐκτὸς ἄνθρωπον ὀνομάζει· ὁ δὲ Ἰάκωβος τὴν κοινὴν οὐσίαν τῆς ἀνθρωπότητος δηλῶν λέγει· πᾶσα φύσις θηρίων τε καὶ πετεινῶν ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇι φύσει τῇι ἀνθρωπίνηι. τὸ μέντοι Χριστός ὄνομα οὐκ οὐσίας ἐστὶ σημαντικόν, ἐπειδὴ οὔτε ἐπὶ κοινοῦ σημαινομένου λαμβάνεται οὔτε κατὰ πολλῶν ὑποστάσεων λέγεται οὔτε μὴν ἄνευ τῶν ἰδιωμάτων ὁμολογεῖται. τοῦτο γὰρ ἡμᾶς καὶ ὁ ἐν ἁγίοις διδάσκει Κύριλλος ἐν τοῖς Σχολίοις αὐτοῦ τοῖς περὶ τῆς ἐνανθρωπήσεως 1117 λέγων ὅτι

Act.Conc. I 5 p. 219,9 Τὸ Χριστός ὄνομα οὔτε ὅρου δύναμιν ἔχει οὔτε μὴν τήν τινος οὐσίαν ὅ τι ποτέ ἐστιν, σημαίνει, καθάπερ ἀμέλει ἄνθρωπος ἢ ἵππος ἢ βοῦς. **23**

Εἰ δὲ κατὰ τὴν τῶν αἱρετικῶν βλασφημίαν οὐσίας ὑπῆρχεν δηλωτικὸν τὸ Χριστός ὄνομα ὥσπερ τὸ ἄνθρωπος, πολλοὶ Χριστοὶ κατ' αὐτοὺς εὑρεθήσονται, καθ' ὧν τὸ κοινὸν τῆς οὐσίας τοῦ Χριστοῦ λέγουσιν· εἰ δὲ τοῦτο ἀσεβὲς καὶ ἀλλότριον παντελῶς Χριστιανισμοῦ (εἷς γὰρ κύριος Ἰησοῦς Χριστός), δῆλον ὅτι οὐκ ἐπὶ φύσεως, ἀλλ' ἐπὶ προσώπου εἴτουν ὑποστάσεως τὸ Χριστός ὁμολογεῖται. **24**

Σκοπήσωμεν δὲ καὶ ἄλλως ἣν ἔχει διαφορὰν τὸ τῆς οἰκονομίας μυστήριον πρὸς τὸ κατὰ τὸν ἄνθρωπον ὑπόδειγμα. ὁ μὲν γὰρ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος σύγκειται ἀμφοτέρων κτιστῶν, ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς θεὸς καὶ ἄνθρωπος ὁ αὐτὸς ὑπάρχων κατὰ μὲν τὴν θεότητα καὶ προαιώνιος καὶ ἄκτιστός ἐστιν, κατὰ δὲ τὴν ἀνθρωπότητα καὶ κτιστὸς καὶ ἐν χρόνωι· ὅθεν ἄκτιστος ὁ αὐτὸς καὶ κτιστός, ἄχρονος καὶ ἐν χρόνωι. καὶ διὰ τοῦτο ἡμεῖς πάντα ἑνὸς καὶ τοῦ αὐτοῦ ὁμολογοῦντες τὰ μὲν τῇι θείαι, τὰ δὲ τῇι ἀνθρωπίνηι αὐτοῦ λογιζόμεθα φύσει. ἀκούσωμεν γὰρ καὶ τοῦ ἐν ἁγίοις Πρόκλου ἐν τῶι εἰς τὴν θεοτόκον λόγωι τὰ παραπλήσια τούτοις ἡμᾶς ἐκδιδάσκοντος· λέγει γὰρ οὕτως **25**

or. 3 PG 65, 705 Τόκος παράδοξος, ἀρχὴ καὶ οὐκ ἀρχὴ τοῦ τεχθέντος· τῆς μὲν γὰρ ἀνθρωπότητος γέγονεν ἀρχή, ἡ δὲ θεότης ἔμεινεν ἄναρχος. **26**

Μὴ ἀπατάσθωσαν τοίνυν οἱ ἄνθρωποι μηδὲ ἀπατάτωσαν ἐκ τοῦ κατὰ τὸν ἄνθρωπον ὑποδείγματος μιᾶς οὐσίας εἶναι τὸν Χριστὸν τερατευόμενοι· τὰ γὰρ ὑποδείγματα οὐ διὰ πάντων ὅμοιά ἐστιν ἐκείνοις, ὧν εἰς ὑπόδειγμα λαμβάνεται. εἰ γὰρ διὰ πάντων ὅμοια εὑρεθῆι, τὰ αὐτὰ πάντως ἔσται καὶ οὐ παραδείγματα. καὶ ὁ ἐν ἁγίοις γὰρ Κύριλλος κατ' οὐδὲν ἕτερον τῶι τοῦ ἀνθρώπου κέχρηται παραδείγματι πλὴν διὰ μόνον τὸ ἐκβαλεῖν τὴν Παύλου καὶ Νεστορίου βλασφημίαν τῶν διαιρούντων τὰς φύσεις ἀπ' ἀλλήλων καὶ εἰς δύο πρόσωπα ἤγουν ὑποστάσεις ταύτας λαμβανόντων καὶ ἐντεῦθεν δύο υἱοὺς καὶ δύο Χριστοὺς λεγόντων, ἕνα μὲν τὸν ἐκ τοῦ θεοῦ καὶ πατρὸς υἱόν, ἕτερον δὲ τὸν ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας ἀναπλαττόντων, ὡς διὰ τοῦτο μηδὲ θεοτόκον αὐτὴν παρ' αὐτῶν ὁμολογεῖσθαι, ἀλλὰ τὸν ἐξ αὐτῆς γεννηθέντα ψιλὸν ἄνθρωπον λέγεσθαι, χάριτι δὲ καὶ οἰκειώσει καὶ σχέσει τῇι πρὸς τὸν κατὰ φύσιν υἱὸν τῆς υἱότητος ἐκ προκοπῆς ἠξιῶσθαι. **27**

Πρὸς ἀπόδειξιν δὲ τοῦ ὅτι ταῦτα οὕτως ἐβλασφήμησαν Παῦλός τε καὶ Νεστόριος, ἐκ τῶν γεγραμμένων αὐτοῖς ἀσεβειῶν ὀλίγας παρεθέμεθα τὴν τούτων μανίαν πᾶσι Χριστιανοῖς στηλιτεύοντες. λέγει γοῦν ὁ ἀσεβὴς Παῦλος ἐν τοῖς περὶ αὐτοῦ πεπραγμένοις **28**

Συνῆλθεν ὁ λόγος τῶι ἐκ Δαβὶδ γεγεννημένωι, ὅς ἐστιν Ἰησοῦς Χριστὸς ὁ γεννηθεὶς ἐκ πνεύματος ἁγίου. καὶ τοῦτον μὲν ἤνεγκεν ἡ παρθένος διὰ πνεύματος ἁγίου, ἐκεῖνον δὲ τὸν λόγον **29**

---

25. 26 imitatur initium exc. Ephes. XIIII ex Gregorio Nazianzeno [Act. Conc. I 1, 2 p. 43, 111] 39 sq. cf. Loofs, Texte und Unters. 44, 5 p. 86

ἐγέννησεν ὁ θεὸς ἄνευ παρθένου καὶ ἄνευ τινὸς καὶ οὐδενὸς ὄντος πλὴν τοῦ θεοῦ, καὶ οὕτως ὑπέστη ὁ λόγος.

30 Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Παῦλος λέγει· ὁ λόγος μείζων ἦν τοῦ Χριστοῦ· Χριστὸς διὰ σοφίας μέγας ἐγένετο· τὸ ἀξίωμα τῆς σοφίας μὴ καθέλωμεν. 1120

31 Καὶ πάλιν ὁ αὐτὸς αἱρετικὸς Παῦλος λέγει· καὶ γὰρ ἐν προφήταις ἦν, μᾶλλον δὲ καὶ ἐν Μωσῆι καὶ ἐν πολλοῖς κύριος, μᾶλλον δὲ καὶ ἐν Χριστῶι ὡς ἐν ναῶι· ἄλλος γάρ ἐστιν Ἰησοῦς Χριστὸς καὶ ἄλλος ὁ λόγος. 5

32 Εἶτα πάλιν Νεστόριος ὁ ἀσεβὴς λέγει· οὐδαμοῦ τοίνυν ἡ θεία γραφὴ θεὸν ἐκ τῆς Χριστοτόκου παρθένου λέγει γεγεννῆσθαι. Exc. Ephes. III [Act. Conc. I 1, 2 p. 46, 5. 6

33 Καὶ πάλιν ὁ αὐτὸς ἀνθρωπολάτρης Νεστόριος λέγει· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ· οὐκ εἶπεν· ἐγερθεὶς παράλαβε τὸν θεὸν καὶ τὴν μητέρα αὐτοῦ. Mt. 2, 13 — l. c. p. 46, 9. 10

34 Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· ἄλλο ἐστὶ τὸ συνεῖναι τῶι γεγεννημένωι καὶ ἄλλο τὸ γεννᾶσθαι τὸ γὰρ ἐν αὐτῆι, φησί, γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου, τουτέστι τὸ πνεῦμα τὸ ἅγιον ἔκτισεν τὸν ἐν αὐτῆι. εἶδον οὖν οἱ πατέρες ὡς ἐπιστήμονες τῶν θείων γραφῶν ὅτι ἐὰν ἀντὶ τοῦ σαρκωθέντα θῶμεν τὸν γεννηθέντα, εὑρίσκεται υἱὸς τοῦ πνεύματος ὁ θεὸς λόγος καὶ δύο πατέρας ἔχων· εἰ δὲ διὰ τοῦ ἑνὸς νῦ, εὑρεθήσεται ὁ θεὸς λόγος κτίσμα τοῦ πνεύματος ὤν. Exc. Eph. IIII [l. c. p. 46, 15–20] Mt. 1, 20 15

35 Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· ἀλλ' ὥσπερ ἐλέγομεν θεὸν τὸν πάντων δημιουργὸν καὶ θεὸν τὸν Μωυσέα (θεὸν γάρ φησι, τέθεικά σε τοῦ Φαραώ) καὶ υἱὸν τοῦ θεοῦ τὸν Ἰσραὴλ (υἱὸς γάρ φησι, πρωτότοκός μου Ἰσραήλ) καὶ ὥσπερ ἐλέγομεν Χριστὸν τὸν Σαούλ (οὐ μὴ γάρ φησιν, ἐπιβαλῶ τὴν χεῖρά μου ἐπ' αὐτόν, ὅτι Χριστὸς κυρίου ἐστίν) καὶ τὸν Κῦρον ὡσαύτως (τάδε λέγει, φησί, κύριος τῶι Χριστῶι μου Κύρωι) καὶ τὸν Βαβυλώνιον ἅγιον (ἐγὼ γάρ φησι, συντάξω αὐτοῖς· ἡγιασμένοι εἰσὶ καὶ ἐγὼ ἄγω αὐτούς), οὕτω λέγομεν καὶ τὸν δεσπότην Χριστὸν καὶ θεὸν καὶ υἱὸν καὶ ἅγιον καὶ Χριστόν. Exc. Eph. VI [l. c. p. 47, 7–14] Exod. 7, 1 Exod. 4, 22 1 Reg. 24, 7 Ies. 45, 1 21 Ies. 13, 3

36 Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον. ἀχώριστος τοῦ φαινομένου θεός· διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω· χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν. Exc. Eph. VIII [l. c. p. 47, 26–48, 2] 26

37 Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· καὶ Χριστὸς ὁ θεὸς λόγος ὀνομάζεται, ἐπειδήπερ ἔχει τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ. Exc. Eph. VIIII [l. c. p. 48, 9. 10]

38 Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· ἡ μακαρία παρθένος οὐκ ἐγέννησεν τὸν υἱὸν τοῦ θεοῦ, ἀλλ' ἐγέννησεν τὴν ἀνθρωπότητα, ἥτις ἐστὶν υἱὸς διὰ τὸν συνημμένον υἱόν. Exc. Eph. 1 [l. c. p. 45, 20. 21]

39 Καὶ ταῦτα μὲν Παῦλος καὶ Νεστόριος οἱ ἀσεβεῖς τὴν Ἑλλήνων τε καὶ Ἰουδαίων ἀσέβειαν ὑπερβαλλόμενοι· αἴτιον δὲ γέγονεν τῆς αὐτῶν ἀπωλείας τὸ μὴ ὁμολογεῖν τὰς δύο γεννήσεις ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν θεοῦ, τουτέστι τήν τε πρὸ αἰώνων ἐκ τοῦ πατρὸς κατὰ τὴν θεότητα καὶ τὴν ἐπ' ἐσχάτου τῶν ἡμερῶν τοῦ αὐτοῦ ἐκ τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας κατὰ τὴν ἀνθρωπότητα, ἀλλὰ δύο υἱοὺς λέγοντας, ἄλλον μὲν τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα θεὸν λόγον, ἄλλον δὲ τὸν ἐκ τῆς ἁγίας παρθένου ψιλὸν ἄνθρωπον [καὶ] διὰ τοῦτο αὐτοὺς τὴν ἁγίαν παρθένον θεοτόκον μὴ ὁμολογεῖν καὶ μήτε προφήταις μήτε εὐαγγελίοις μήτε τοῖς ἀποστολικοῖς κηρύγμασιν ἀκολουθεῖν. πρὸς ἔλεγχον δὲ τῆς αὐτῶν ἀσεβείας ὀλίγας ἐκ πολλῶν γραφικὰς παρεθέμεθα μαρτυρίας. Ἱερεμίας μὲν γὰρ προαναφωνῶν περὶ τοῦ Χριστοῦ λέγει τάδε 31 35 1121 40

---

39 προαναφωνῶν — p. 16, 12 νοοῦμεν τὸν λόγον om. Mai C

37 καὶ deleui

Bar. 3, 36–38 Οὗτος ὁ θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρεν πᾶσαν ὁδὸν 40
ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημέ-
νωι ὑπ' αὐτοῦ, μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη.

Exc. Eph. I [l. c. p. 45, 10. 11] Τολμῶντα δὲ λέγειν Νεστόριον τὸν δυσσεβῆ μηδαμοῦ τὴν θείαν γραφὴν παραδιδόναι θεὸν ἐκ 41
5 τῆς παρθένου γεγεννῆσθαι πῶς οὐ καταιδεῖ ὁ μεγαλόφωνος Ἡσαίας λέγων τάδε; Ἰδοὺ ἡ παρ-
Ies. 7, 14 Mt. 1, 23 θένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμα-
νουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ θεός.

Ies. 9, 6 Καὶ πάλιν ὁ αὐτὸς προφήτης· ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, 42
οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς
10 ἄγγελος, θαυμαστὸς σύμβουλος, θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης,
πατὴρ τοῦ μέλλοντος αἰῶνος.

Πῶς δὲ αὐτοὺς οὐκ ἐντρέπεσθαι ποιεῖ, ὃ καὶ τοῖς ἀθέοις Ἕλλησι φοβερὸν δοκεῖ, τὸ παρὰ 43
Ioh. 1, 1. 14 Ἰωάννου τοῦ εὐαγγελιστοῦ λεχθέν; Ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν
14 θεὸν καὶ θεὸς ἦν ὁ λόγος· καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν.

1 Ioh. 1, 1. 2 Καὶ πάλιν ἐν τῇι καθολικῇι αὐτοῦ ἐπιστολῇι· ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκα- 44
μεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ
τοῦ λόγου τῆς ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωράκαμεν καὶ ἀκηκόαμεν καὶ
μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν
19 πατέρα καὶ ἐφανερώθη ἡμῖν.

1 Ioh. 5, 20 Καὶ πάλιν ὁ αὐτὸς περὶ τοῦ κυρίου λέγων· οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ἡ ζωὴ ἡ 45
αἰώνιος.

Tit. 2, 13 Τί δὲ πρὸς τὸν ἀπόστολον Παῦλον ἐροῦσι λέγοντα; κατὰ τὴν ἐπιφάνειαν τῆς δόξης τοῦ 46
μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Rom. 9, 5 Καὶ πάλιν· ὧν οἱ πατέρες καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάν- 47
25 των θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν.

Ἀποδεδειγμένου δὲ ὅτι θεὸς ἀληθινὸς ὁ Χριστός, δείξωμεν ὅτι καὶ εἷς ὁ Χριστός. ἄκουε 48
1 Cor. 8, 6 γὰρ Παύλου τοῦ ἀποστόλου λέγοντος· εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος
Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα.

Καὶ ταῦτα μὲν ἡμεῖς προηγάγομεν ἐκ τῶν θείων γραφῶν τὴν ἀσέβειαν ἐλέγχοντες τῶν Παύλωι 49
30 καὶ Νεστορίωι κατακολουθούντων, οἵτινες ἀθετοῦντες τὴν οἰκονομίαν τοῦ μεγάλου θεοῦ καὶ
σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὰς ἐν αὐτῶι δύο φύσεις ἀνὰ μέρος τιθέντες δύο ὑποστάσεις καὶ
δύο υἱοὺς εἴτουν δύο Χριστοὺς ἀναπλάττουσιν· ὅπερ δὲ καὶ πρὸ ὀλίγου εἰρήκαμεν, ὁ ἐν ἁγίοις
Κύριλλος τὴν τούτων ἀσεβῆ διαίρεσιν ἐκβάλλων τῶι τοῦ ἀνθρώπου κέχρηται παραδείγματι δι-
δάσκων ἡμᾶς ὅτι ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου αἱ δύο φύσεις, τουτέστιν ψυχὴ καὶ σῶμα, οὐ δύο ἀν-
35 θρώπους, ἀλλ' ἕνα τὸν ἄνθρωπον ἀποτελοῦσιν, οὕτω καὶ ἐπὶ τῆς φρικτῆς οἰκονομίας αἱ δύο φύ-
σεις τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος οὐ δύο υἱοὺς οὐδὲ δύο Χριστούς, ἀλλ' ἕνα τὸν κύριον
ἡμῶν Ἰησοῦν Χριστὸν ἀπετέλεσαν. εὐθέως γοῦν ἐν τῶι πρώτωι πρὸς Σούκεσσον ὑπομνηστι-
κῶι παραφέρων τὸ τοῦ ἀνθρώπου ὑπόδειγμα λέγει τάδε

Act. Conc. I 1, 6 p. 154, 3–8 Καὶ εἰ δοκεῖ, δεξώμεθα πρὸς παράδειγμα τὴν καθ' ἡμᾶς αὐτοὺς σύνθεσιν καθ' ἣν ἐσμὲν ἄν- 50
40 θρωποι. συντεθείμεθα γὰρ ἐκ ψυχῆς καὶ σώματος καὶ ὁρῶμεν δύο φύσεις, ἑτέραν μὲν τῆς

C

26 δείξομεν C 39 δεξόμεθα C

ψυχῆς, ἑτέραν δὲ τοῦ σώματος, καὶ οὐχὶ τὸ ἐκ δύο φύσεων συντεθεῖσθαι δύο τοὺς ἀνθρώπους εἶναι παρασκευάζει, ἀλλ' ἕνα <τὸν ἄνθρωπον> κατὰ σύνθεσιν, ὡς ἔφην, τὴν ἐκ ψυχῆς καὶ σώματος.

51 Καὶ ἐν τῶι δευτέρωι δὲ ὑπομνηστικῶι τῶι πρὸς τὸν αὐτὸν Σούκεσσον τῶι τοῦ ἀνθρώπου χρησάμενος ὑποδείγματι ταῦτα ἡμᾶς ἐκδιδάσκει· λέγει γαρ οὕτως 4

Ἔστω δὲ ἡμῖν εἰς παράδειγμα πάλιν ὁ καθ' ἡμᾶς ἄνθρωπος. δύο μὲν γὰρ καὶ ἐπ' αὐτοῦ l. c. p. 162, 4–8
νοοῦμεν τὰς φύσεις, μίαν τῆς ψυχῆς, ἑτέραν δὲ τοῦ σώματος· ἀλλ' ἐν ψιλαῖς διελόντες ἐννοίαις καὶ ὡς ἐν ἰσχναῖς θεωρίαις ἤτοι νοῦ φαντασίαις τὴν διαφορὰν δεξάμενοι οὐκ ἀνὰ μέρος τίθεμεν τὰς φύσεις οὔτε μὴν διαμπὰξ διατομῆς δύναμιν ἐνίεμεν αὐταῖς, ἀλλ' ἑνὸς εἶναι νοοῦμεν.

52 Προσέχειν δεῖ τὸν ἀκροατὴν ὅτι ὁ πατὴρ διὰ μὲν τοῦ εἰπεῖν 'ἐν ψιλαῖς διελόντες ἐννοίαις' τοὺς σύγχυσιν τῶν φύσεων εἰσάγοντας καὶ τὴν διαφορὰν τούτων ἀρνουμένους ἀποβάλλεται, διὰ 10
δὲ τοῦ εἰπεῖν 'οὐκ ἀνὰ μέρος τίθεμεν τὰς φύσεις οὔτε μὴν διαμπὰξ διατομῆς δύναμιν ἐνίεμεν αὐταῖς' τὴν τῶν Νεστοριανῶν ἐλέγχει βλασφημίαν τῶν ἐπὶ τῆς οἰκονομίας ἀνὰ μέρος τιθέντων τὰς φύσεις καὶ δύο υἱοὺς καὶ δύο Χριστοὺς ἀναπλαττόντων. ἀμέλει γοῦν ἐπάγει 'ἀλλ' ἑνὸς l. c. p. 162, 8. 9
εἶναι νοοῦμεν, ὥστε τὰ δύο μηκέτι εἶναι δύο', δῆλον δὲ ὅτι ἀνὰ μέρος, 'ἀλλ' ἡνωμένα'. ὅθεν λέγει 'δι' ἀμφοῖν δέ', τουτέστιν διὰ ψυχῆς καὶ σώματος, 'τὸ ἓν ἀποτελεῖσθαι ζῶιον', τουτέστιν 15
ἕνα ἄνθρωπον καὶ οὐχὶ δύο. ὅπερ καὶ ἐν τῶι προτέρωι πρὸς Σούκεσσον ὑπομνηστικῶι γράφει λέγων 'καὶ οὐχὶ τὸ ἐκ δύο φύσεων συντεθεῖσθαι δύο τοὺς ἀνθρώπους εἶναι παρασκευάζει, ἀλλ' ἕνα τὸν ἄνθρωπον κατὰ σύνθεσιν, ὡς ἔφην, τὴν ἐκ ψυχῆς καὶ σώματος'. εἰ δὲ κατὰ τὴν τῶν αἱρετικῶν συκοφαντίαν ἀπηγόρευσεν ὁ πατὴρ τὸ εἶναι τὰς δύο φύσεις ἢ τὴν μίαν αὐτῶν καὶ διὰ τοῦτο τὰ δύο εἶπεν μηκέτι εἶναι δύο, τουτέστιν ψυχὴν καὶ σῶμα, ἀνάγκη κατ' αὐτοὺς ἢ ἀναιρε- 20
θῆναι παντελῶς τὸν ἄνθρωπον ἢ ἄψυχον ἢ ἀσώματον εἶναι, ὅπερ ἀδύνατον· τὸ γὰρ θατέρου χηρεῦον οὐκ ἄνθρωπος. πρόδηλον οὖν ὅτι ὁ πατὴρ τὸ τοῦ ἀνθρώπου παράδειγμα λέγων δείκνυσι, καθάπερ εἰρήκαμεν, ὅτι ὥσπερ ψυχὴ καὶ σῶμα οὐ δύο ἀνθρώπους, ἀλλ' ἕνα τὸν ἄνθρωπον ἀποτελοῦσιν, οὕτως καὶ ἐπὶ τῆς οἰκονομίας αἱ δύο φύσεις τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος οὐ δύο υἱοὺς οὐδὲ δύο Χριστούς, ἀλλ' ἕνα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀπετέλεσαν. διὰ 25
τοῦτο γὰρ καὶ ἐν τῶι ὑπομνήματι τῆς πρὸς Ἑβραίους ἐπιστολῆς ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος λέγει τάδε

53 Τί δὴ οὖν ἄρα πρὸς τοῦτό φασιν οἱ τὸ τῆς ἑνώσεως ὄνομα τιθέντες μὲν ἐπὶ Χριστοῦ, ἀρνούμενοι δὲ δυνάμει πραγμάτων τὸ τῆς ἀληθοῦς ἑνώσεως χρῆμα; φάσκοντες εἶναι σοφοὶ ἐμωράν- Rom. 1, 22
θησαν κατὰ τὸ γεγραμμένον. ἀποδιιστάντες γὰρ ἀλλήλων τὰς δύο φύσεις ἀνὰ μέρος τε ἡμῖν 30
ἑκατέραν ἀσυναφῆ θατέρας δεικνύντες ἐν μόνοις προσώποις φασὶ γενέσθαι τὴν ἕνωσιν καὶ ὡς ἔν γε ψιλῆι συναινέσει καὶ ταυτοβουλίαι καὶ θελημάτων ῥοπαῖς.

54 Ἰδοὺ σαφῶς ὁ πατήρ, καθάπερ εἰρήκαμεν, τὸν μὲν ἀριθμὸν τῶν δύο φύσεων ἐπὶ τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμολογεῖ, τοὺς δὲ διαιροῦντας αὐτὰς ἀπ' ἀλλήλων καὶ δύο λέγοντας πρόσωπα καὶ σχετικὴν τῆς ἑνώσεως ἀποβάλλεται. τῶι γὰρ μέμφεσθαι τοὺς 35
ἀποδειστάντας ἀπ' ἀλλήλων τὰς δύο φύσεις πρόδηλός ἐστιν αὐτὸς ἡνωμένας ταύτας ὁμολογῶν καὶ ἐκβάλλων φανερῶς τοὺς δύο λέγοντας υἱοὺς ἢ δύο Χριστούς, καθὼς καὶ ἐν τῶι πρὸς Θεοδόσιον λόγωι λέγει τάδε

29–32 extant Doctr. 2 XXXIII
C

1 ante καὶ οὐχί habentur apud Cyrillum ἀλλ' εἷς ἐξ ἀμφοῖν καθ' ἕνωσιν ἄνθρωπος 2 τὸν ἄνθρωπον addidi, cf. l. 18 8. 11 ἐφιεμεν Cyrill. 31 θατέρας Doctr. θατέραν C

Act. Conc. I 1, 1 p. 53, 20. 21

Υἱοὺς δὲ οὔτι που δύο προσκυνήσομεν, ἀλλ' οὐδὲ Χριστοὺς ἐροῦμεν δύο, κἂν ἐψυχῶσθαι 55
πιστεύωμεν ψυχῇ λογικῇ τὸν ἑνωθέντα τῶι λόγωι ναόν.

Καὶ πάλιν τὸ αὐτὸ σαφέστερον δείκνυσιν ἐν τῶι ὑπομνήματι τῆς Παύλου πρὸς Ἑβραίους ἐπι- 56
στολῆς· λέγει γὰρ τάδε

Εἷς οὖν ἄρα κύριος Ἰησοῦς Χριστός, οὔτε τῆς ἀνθρωπότητος δίχα νοουμένου τοῦ λόγου μετὰ τὴν τῆς ἁγίας παρθένου σαρκικὴν ἀπότεξιν οὔτε μὴν ἑνώσεως τῆς πρὸς τὸν θεὸν ἀποφοιτώσης ποτὲ τῆς σαρκός. εἰ γὰρ καὶ νοοῖντο διάφοροι καὶ ἀλλήλαις ἄνισοι τῶν εἰς ἑνότητα συνδεδραμηκότων αἱ φύσεις, σαρκὸς δὴ λέγω καὶ θεοῦ, ἀλλ' οὖν εἷς τε καὶ μόνος ἐξ ἀμφοῖν υἱὸς ἀληθῶς, ἔχοντος ἡμῖν ἀραρότως τοῦ καὶ ἐψυχῶσθαι ψυχῇ λογικῇ τὸν ἑνωθέντα τῶι λόγωι ναόν. κἂν εἰ λέγοιτο τυχὸν ἡνῶσθαι σαρκὶ καθ' ὑπόστασιν ὁ μονογενὴς τοῦ θεοῦ λόγος, οὐκ ἀνάχυσίν τινα τὴν εἰς ἀλλήλας τῶν φύσεων πεπρᾶχθαί φαμεν, μενούσης δὲ μᾶλλον ἑκατέρας τοῦθ' ὅπερ ἐστίν, ἡνῶσθαι σαρκὶ νοοῦμεν τὸν λόγον.

1121 Δεῖ δὲ κἀνταῦθα τὸν ἀναγινώσκοντα προσέχειν τοῖς τοῦ πατρὸς λόγοις. εἰπὼν γὰρ οὐκ ἀνάχυ- 57
σίν τινα τὴν εἰς ἀλλήλας τῶν φύσεων πεπρᾶχθαι, μένειν δὲ μᾶλλον ἑκατέραν ἐν τῆι ἑνώσει τοῦτο ὅπερ ἐστί, σαφῶς διδάσκει τὰς δύο φύσεις τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος ἐν τῶι ἑνὶ προσώπωι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σώιζεσθαί τε καὶ ὁμολογεῖσθαι. ἐξ ὧν συνωθούμενοι οἱ αἱρετικοὶ ἑτέραν πάλιν ἐπινοοῦσιν ἀσέβειαν καὶ διὰ ταύτης τὴν προτέραν ἐπισκιάσαι βουλόμενοι. ἔστι γὰρ ὅτε καὶ μίαν σύνθετον ἀναπλάττουσι φύσιν, ἀγνοοῦντες ὅτι καθάπερ διὰ τῆς τῶν πατέρων ἀποδείκνυται διδασκαλίας, καὶ ἡμεῖς δὲ ἀνωτέρω εἰρήκαμεν, τὸ τῆς φύσεως ὄνομα ἐπὶ κοινοῦ λέγεται πράγματος καὶ ἀόριστόν τι σημαίνει καὶ κατὰ πολλῶν ὑποστάσεων κατηγορεῖται. εἰ τοίνυν αἱ δύο φύσεις τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος μία κατ' αὐτοὺς γέγονε σύνθετος φύσις, δῆλον ὅτι κοινόν τι καὶ ἀόριστον ἀπετελέσθη καὶ ζητεῖν ἐπάναγκες ποίας κοινότητος ἢ κατὰ ποίων ὑποστάσεων τὴν τοιαύτην φύσιν λέγουσι κατηγορεῖσθαι. ὅπερ ἐναντίον ἐστὶ τοῦ κατὰ Χριστὸν μυστηρίου· ὁ γὰρ Χριστὸς οὐχ ὡς κοινόν τι καὶ κατὰ πολλῶν ὑποστάσεων κατηγορεῖται, ἀλλ' ἐπὶ μιᾶς ὑποστάσεως εἴτουν ἑνὸς προσώπου λέγεται ἐν διαφόροις οὐσίαις θεότητος καὶ ἀνθρωπότητος γνωριζόμενος. καὶ ἡμεῖς μὲν δύο οὐσίας ἐπὶ Χριστοῦ λέγοντες κατὰ μὲν τὴν θεότητα ἴσμεν αὐτὸν τῶι πατρὶ καὶ τῶι ἁγίωι πνεύματι ὁμοούσιον, κατὰ δὲ τὴν ἀνθρωπότητα πᾶσιν ἀνθρώποις τὸν αὐτὸν γινώσκομεν ὁμοούσιον· οἱ δὲ λέγοντες τὰς δύο οὐσίας μίαν ἀποτελέσαι σύνθετον φύσιν, ὅπερ ἐστὶν ἕν, κοινῶν τινων εἶναι τὴν κοινότητα ταύτην διδόασιν. ἀνάγκη γὰρ κατὰ τοὺς ἐκείνων λόγους ἀποτελεσθῆναί τι μέσον ἑτεροφυὲς ἢ ὅπερ ἦν ἑκάτερον ἀνὰ μέρος.

Κἀκεῖθεν δὲ αὐτῶν τὰ τῆς ἀτοπίας ἐλέγχεται. εἰ γὰρ διὰ πάντων ὡμολόγηται ἁπλῆν εἶναι 58
καὶ ἀσύνθετον τὴν φύσιν τῆς ἁγίας τριάδος, αὐτοὶ δὲ σύνθετον εἰσάγουσι τὴν τοῦ υἱοῦ φύσιν, εὑρεθήσεται κατ' αὐτοὺς ἑτέρα φύσις ἡ τοῦ υἱοῦ παρὰ τὴν τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος. πλὴν καὶ ἡ περὶ τῆς συνθέτου φύσεως εὕρεσις οὐδενὸς ἑτέρου ἢ τοῦ διδασκάλου τῆς πλάνης αὐτῶν ἐστιν Ἀπολιναρίου τοῦ ποτὲ μὲν μίαν σύνθετον φύσιν λέγοντος, ποτὲ δὲ μίαν θεότητος καὶ ἀνθρωπότητος ἀναπλάττοντος. ὅπερ εὑρεῖν ἔξεστιν ἐκ τῶν τοῦ αὐτοῦ αἱρετικοῦ συγγραμμάτων· ἐν γὰρ τῶι λόγωι ὃν ἐπιγράφει πρὸς τοὺς ἄνθρωπον ὑπὸ τοῦ λόγου προσειλῆφθαι λέγοντας λέγει τάδε

frg. 111 p. 233 Lietzm. Ἄνθρωπος εἷς ὁ Χριστὸς ὡς εἷς θεὸς ὁ πατήρ, ὅ ἐστι φύσεως, ὥστε καὶ τοῦτο φύσεως συνθέτου 59
μεταξὺ οὔσης θεοῦ καὶ ἀνθρώπων.

Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Ἀπολινάριος ἐν τῶι περὶ τῆς θείας σαρκώσεως λόγωι ἐν κεφαλαίωι 60
τρισκαιδεκάτωι λέγει τάδε

9–12 extant Doctr. 5 I

61 Ἡ σὰρξ ἑτεροκίνητος οὖσα πάντως ὑπὸ τοῦ κινοῦντος καὶ ἄγοντος, ὁποῖόν ποτε ἂν εἴη τοῦτο, καὶ οὐκ ἐντελὲς οὖσα ζῶιον ἀφ' ἑαυτῆς, ἀλλ' εἰς τὸ γενέσθαι ζῶιον ἐντελὲς συντιθεμένη πρὸς ἑνότητα τῶι ἡγεμονικῶι συνῆλθεν καὶ συνετέθη πρὸς τὸ οὐράνιον ἡγεμονικόν, ἐξοικειωθεῖσα αὐτῶι κατὰ τὸ παθητικὸν ἑαυτῆς καὶ λαβοῦσα τὸ θεῖον οἰκειωθὲν αὐτῆι κατὰ τὸ ἐνεργητικόν. οὕτω γὰρ ἓν ζῶιον ἐκ κινουμένου καὶ κινητικοῦ συνίστατο καὶ οὐ δύο ἢ ἐκ δύο τελείων καὶ αὐτοκινήτων. διʼ ὅπερ ἄνθρωπος μὲν ἕτερόν τι ζῶιον πρὸς θεὸν καὶ οὐ θεός, ἀλλὰ δοῦλος θεοῦ, κἂν οὐρανίων ἦι τις δύναμις, ὡσαύτως ἔχει· σὰρξ δὲ θεοῦ σὰρξ γενομένη ζῶιόν ἐστι μετʼ αὐτοῦ συντεθεῖσα εἰς μίαν φύσιν. frg. 107 p. 232 Lietzm. 1124

62 Τοῦ αὐτοῦ Ἀπολιναρίου αἱρετικοῦ ἐκ τῶν κατὰ Διοδώρου λόγων· ὄργανον καὶ τὸ κινοῦν μίαν πέφυκεν ἀποτελεῖν τὴν ἐνέργειαν· εἰ δὲ μία ἡ ἐνέργεια, μία καὶ ἡ οὐσία, μία ἄρα οὐσία γέγονεν τοῦ λόγου καὶ τῆς σαρκός. frg. 117 p. 235. 236 Lietzm.

63 Τοῦ αὐτοῦ ἐν τῶι περὶ σαρκώσεως λόγωι· ὦ καινὴ κτίσις, μῖξις θεσπεσία, θεὸς καὶ σὰρξ μίαν καὶ τὴν αὐτὴν ἀπετέλεσαν φύσιν. frg. 10 p. 207 Lietzm.

64 Τοῦ αὐτοῦ πρὸς Πέτρον· φύσει μὲν θεὸν καὶ φύσει ἄνθρωπον τὸν κύριον λέγομεν, μιᾶι δὲ καὶ συγκράτωι τῆι φύσει σαρκικῆι τε καὶ θεικῆι. frg. 149 p. 247 Lietzm.

65 Πρὸς δὲ τούτοις καὶ αὐτὸν Πολέμωνα τὸν μαθητὴν Ἀπολιναρίου παραθήσωμεν λέγοντα σαφῶς τίνος ἐστὶν ὁ τῆς συνθέτου φύσεως ἀναπλασμὸς καὶ τὸ μίαν λέγειν σαρκὸς καὶ θεότητος φύσιν. ἐν γὰρ τῶι κατὰ Τιμοθέου τοῦ συμμαθητοῦ αὐτοῦ λόγωι λέγει τάδε

66 Οὐδὲν δὲ χεῖρον ἐννοῆσαι κἀκεῖνο. θεὸν γὰρ λέγοντες καὶ ἄνθρωπον τὸν αὐτὸν οὐκ αἰσχύνονται μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην καθάπερ μίαν σύνθετον ὁμολογοῦντες. εἰ γὰρ θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος ὁ αὐτός, δύο φύσεις ἄρα ὁ αὐτός, καθάπερ ἡ τῶν Καππαδοκῶν εἰσηγεῖται καινοτομία καὶ Ἀθανασίου ἡ οἴησις καὶ τῶν ἐν Ἰταλίαι ὁ τῦφος. καὶ σχηματίζονται μὲν οἱ δῆθεν ἡμέτεροι φρονεῖν τὰ τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀπολιναρίου, κηρύττουσι δὲ καθάπερ οἱ Γρηγόριοι τὴν τῶν φύσεων δυάδα, οὐδενός, ὡς ἔοικεν, ἐρασθέντες ἢ μόνης τῆς ἐν τῶι βίωι τούτωι φθαρτῆς δόξης τῆι πρὸς ἱερωσύνην ἐλπίδι δελεασθέντες. τί οὖν αὐτοῖς καὶ ἡμῖν; τί δὲ συμβαίνειν πειρῶνται τῆι ἀξιαγάστωι φωνῆι; τί δὲ Ἀπολιναρίωι τῶι θείωι μαθητιᾶν σχηματίζονται; ταύτην γὰρ ἐπʼ ἀναιρέσει τῆς τῶν φύσεων δυάδος τὴν φωνὴν μόνος ἡμῖν οὗτος ἀπεκύησεν. frg. 174 p. 274 Lietzm.

67 Ἐκ τῶν εἰρημένων τοίνυν σαφὲς καθέστηκεν ὡς οἱ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην καθάπερ σύνθετον λαμβάνοντες τῆι Ἀπολιναρίου κατακολουθοῦσιν πλάνηι. ὁ γὰρ ἐν ἁγίοις Κύριλλος, καθʼ ἃ καὶ ἀνωτέρω εἰρήκαμεν, τὸ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην οὐκ ἄλλως εἰ μὴ ἐπὶ τῶν δύο φύσεων εἶπεν, ὅθεν ἐπάγει· δύο τὰς φύσεις εἶναι φαμέν. καθάπερ γὰρ καὶ αὐτὸς ὁ πατὴρ διδάσκει, ἑτέρα ἡ τοῦ λόγου φύσις καὶ ἑτέρα ἡ τῆς σαρκός. ὅτι δὲ τοὺς λέγοντας σύνθετον φύσιν καὶ μίαν σαρκὸς καὶ θεότητος φύσιν ἀναπλάττοντας ὁ ἐν ἁγίοις Κύριλλος ἀποβάλλεται, ἐξ αὐτῶν τῶν τοῦ πατρὸς λόγων εὐθὺς ἀποδείξομεν· λέγει γὰρ ἐν τῶι κατὰ τῶν Συνουσιαστῶν λόγωι ταῦτα

68 Ἵνα πιστεύωμεν ὅτι κἂν εἰ τοῖς ἡμετέροις σώμασιν ὁμοφυὲς ἦν τὸ ἅγιον αὐτοῦ καὶ πάναγνον σῶμα, ἀλλʼ οὖν ἐστι σεπτόν τε καὶ θεῖον καὶ πολὺ τῶν καθʼ ἡμᾶς ἐπέκεινα μέτρων, ἅτε δὴ καὶ ἴδιον αὐτοῦ γεγονός· ἐνήργηκεν γὰρ δι' αὐτοῦ. διὰ τοῦτο καὶ ἄρτος ὠνομάσθη ζωῆς, ναὶ μὴν καὶ ἐξ οὐρανοῦ καταβῆναι λέγεται καὶ ζωὴν διδόναι τῶι κόσμωι διὰ τὸν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταβάντα λόγον, οὗ καὶ ἰδία γέγονεν ἡ σάρξ. οὐκοῦν θεία μέν, ὡς ἔφην, ἐστίν, οὐ μὴν ἔτι

16 Πρὸς δὲ — 33 τῆς σαρκός om. Mai 39 — p. 18, 2 extant Doctr. 20 V C

16 παραθήσομεν C

καὶ εἰς φύσιν θεότητος μεταβαλεῖν αὐτὴν ὑποτοπήσοι τις ἄν, εἴ γε νοῦν ἔχει τὸν εὖ βεβηκότα καὶ δογματικῆς εὐτεχνίας ἐπιστήμονα. δεῖ γὰρ τῇι πάντων ἐπέκεινα καὶ ἀνωτάτω φύσει σώιζεσθαι καθαρῶς τὸ ἁπλοῦν καὶ ἀσυμμιγὲς ἑτέρωι καὶ τὸ μὴ συντεθεῖσθαι δοκεῖν ἔν γε τοῖς καθ' ἑαυτὴν ἤγουν προσθήκης δεδεῆσθαί τινος καὶ ἀσυμφυοῦς αὐτῆι πράγματος εἰς κοινωνίαν ἐλθεῖν τὴν ἐν ταυτότητι φύσεως ἤγουν ὁμοουσιότητος.

Διὰ τούτων δὲ ὁ πατὴρ σαφῶς ἀπαγορεύει μίαν λέγειν ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος **69**
τοῦ Χριστοῦ σύνθετον φύσιν ὡς μὴ ἐνδεχομένου τὴν θείαν φύσιν ἑνωθεῖσαν τῇι ἀνθρωπίνηι μίαν μετ' αὐτῆς ἀποτελέσαι φύσιν.

Τῆς τῶν ἐναντίων τοίνυν ἀτοπίας ἐληλεγμένης δῆλον καθέστηκεν ὅτι αἱ δύο φύσεις συνελθοῦσαι **70**
οὐ φύσιν σύνθετον, ἀλλὰ Χριστὸν σύνθετον ἀπετέλεσαν, ἐπειδὴ καὶ φύσει θεὸς καὶ φύσει ἄνθρωπος εἷς καὶ ὁ αὐτὸς ὁμολογεῖται. ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ πρὸς ταῖς ἄλλαις αὐτῶν ἀτοπίαις μὴ βουλόμενοι τοῖς τῶν πατέρων ἀκολουθεῖν δόγμασιν, ἀλλὰ τὰ Ἀπολιναρίου πρεσβεύοντες, οὐδεμίαν ὁδὸν ἀτοπίας καταλιμπάνουσιν, δι' ἧς τὰς τῶν ἀκεραιοτέρων ψυχὰς διαφθείρουσι. τὴν γὰρ Ἀπολιναρίου προσηγορίαν ὡς σαφῆ δυσσεβείας ἔλεγχον δολερῶς ἀπωθούμενοι τὰς τῶν ἁγίων πατέρων ἐπωνυμίας τοῖς τούτου συγγράμμασι καὶ τοῖς ἑαυτῶν πλάσμασιν ἐπιτιθέασιν κλέπτοντες τοὺς ἁπλουστέρους καὶ τὴν ὁδὸν τῆς ἀληθείας διαδιδράσκοντες. προφέρουσι γὰρ δύο ἐπιστολὰς ψευδεπιγράφους, μίαν μὲν ὡς δὴ παρὰ Ἰουλίου τοῦ ἐπισκόπου Ῥώμης πρὸς Διονύσιον πρεσβύτερον γεγραμμένην ἔχουσαν οὕτως

p.256,18not.Lietzm. Τῶι δεσπότηι μου τῶι ποθεινοτάτωι συλλειτουργῶι Διονυσίωι Ἰούλιος ἐπίσκοπος Ῥώμης ἐν **71**
p. 258, 15–259, 1 Lietzm. κυρίωι χαίρειν. εἶτα μετὰ πολλὰ ἐπάγει ταῦτα· ἀνάγκη γὰρ δύο λέγοντας φύσεις τὴν μὲν προσκυνεῖν, τὴν δὲ μὴ προσκυνεῖν· εἰς μὲν τὴν θεικὴν βαπτίζεσθαι, εἰς δὲ τὴν ἀνθρωπίνην μὴ βαπτίζεσθαι. εἰ δὲ εἰς τὸν θάνατον τοῦ κυρίου βαπτιζόμεθα, μίαν ὁμολογοῦμεν φύσιν τῆς ἀπαθοῦς θεότητος καὶ τῆς παθητῆς ἀνθρωπότητος,

ἑτέραν δὲ ὡς δὴ παρὰ Ἀθανασίου τοῦ ἐν ἁγίοις πρὸς Ἰοβιανὸν τὸν βασιλέα γεγραμμένην ἔχου- **72**
σαν οὕτως

ibid. p. 250, 1–251, 3 Ὁμολογοῦμεν τὸν υἱὸν τοῦ θεοῦ τὸν πρὸ αἰώνων ἀιδίως ἐκ τοῦ πατρὸς γεννηθέντα ἐπ' ἐσχάτου τῶν αἰώνων διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς ἁγίας παρθένου γεννηθέντα κατὰ σάρκα,
Gal. 4, 4 ὡς ὁ θεῖος ἀπόστολος διδάσκει λέγων ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, καὶ εἶναι αὐτὸν υἱὸν τοῦ θεοῦ καὶ θεὸν κατὰ πνεῦμα, υἱὸν ἀνθρώπου κατὰ σάρκα, οὐ δύο φύσεις τὸν ἕνα υἱόν, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, ἀλλὰ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾶι προσκυνήσει.

Τούτων τοίνυν παρὰ τῶν Ἀκεφάλων προφερομένων ἡ τοῦ θεοῦ σοφία ἄνωθεν αὐτῶν ἀναιροῦσα **73**
τὴν κακίαν οὐ συνεχώρησε μεῖναι τὸ ψεῦδος ἀνέλεγκτον. δέδωκε γὰρ ἡμῖν ἐπιστῆναι τοῖς Ἀπολιναρίου συγγράμμασιν, ἃ παρατιθέντες τοῖς παρὰ τούτων προφερομένοις φανερῶς ἐλέγξομεν ἐκ τῶν Ἀπολιναρίου λόγων ταῦτα παρ' αὐτῶν προβάλλεσθαι. γράφει γὰρ ὁ αὐτὸς Ἀπολινάριος ἐν τῶι κατὰ Διοδώρου λόγωι τάδε

frg. 119 p. 236 Lietzm. Ἄλλης καὶ ἄλλης οὐσίας μίαν εἶναι καὶ τὴν αὐτὴν προσκύνησιν ἀθέμιτον, τουτέστιν ποιητοῦ καὶ **74**
ποιήματος, θεοῦ καὶ ἀνθρώπου. μία δὲ προσκύνησις Χριστοῦ καὶ κατὰ τοῦτο ἐν τῶι ἑνὶ

2–5 ibid. 5 II C
5 ὁμοουσιότητα Doctr. 36 προβαλέσθαι C

ὀνόματι νοεῖται θεὸς καὶ ἄνθρωπος. οὐκ ἄρα ἄλλη καὶ ἄλλη οὐσία θεὸς καὶ ἄνθρωπος, ἀλλὰ μία κατὰ σύνθεσιν θεοῦ πρὸς σῶμα ἀνθρώπινον.

75 Καὶ πάλιν ἐν τῶι αὐτῶι λόγωι· πῶς γὰρ τὸ πρᾶγμα οὐ δυσσεβὲς ἄλλην οὐσίαν κτιστὴν καὶ δουλικὴν μίαν ἔχειν καὶ τὴν αὐτὴν προσκύνησιν τῶι κτίστηι καὶ δεσπότηι; frg. 120 p. 236 Lietzm. *4*

76 Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Ἀπολινάριος ἐκ τοῦ περὶ σαρκώσεως λόγου· ἀδύνατον τὸν αὐτὸν καὶ προσκυνητὸν ἑαυτὸν εἰδέναι καὶ μή· ἀδύνατον ἄρα τὸν αὐτὸν εἶναι θεόν τε καὶ ἄνθρωπον ἐξ ὁλοκλήρου, ἀλλ' ἐν μονότητι συγκράτου φύσεως θεικῆς σεσαρκωμένης. frg. 9 p. 206, 25–28

77 Ταῦτα δὲ ὅπως ἐστὶ σύμφωνα καὶ ἀκόλουθα ταῖς παρὰ τῶν Ἀκεφάλων πλαστῶς προφερομέναις ἐπιστολαῖς ἐκ προσηγορίας Ἰουλίου καὶ Ἀθανασίου τῶν ἁγίων ἡμῶν πατέρων, οὐδενὶ τῶν εὖ φρονούντων ἠγνόηται· τὸ γὰρ λέγειν οὐ δύο φύσεις, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, καὶ πάλιν ἄλλης καὶ ἄλλης οὐσίας μίαν εἶναι καὶ τὴν αὐτὴν προσκύνησιν ἀθέμιτον καὶ τὴν κτιστὴν καὶ δουλικὴν οὐσίαν μίαν ἔχειν καὶ τὴν αὐτὴν προσκύνησιν τῶι κτίστηι καὶ δεσπότηι οὐδεμίαν ἔχει διαφορὰν οὔτε κατὰ τὰς λέξεις οὔτε κατὰ τὴν ἔννοιαν. ὅθεν ἐλέγξαντες ὡς αἱ προφερόμεναι παρὰ τῶν αἱρετικῶν δύο ἐπιστολαὶ οὐδενὸς ἑτέρου ἢ τῆς πλάνης εἰσὶν Ἀπολιναρίου καὶ ἀλλότριαι τῆς καθολικῆς ἐκκλησίας, δείξωμεν ὅτι καὶ τοῖς παρὰ τῶν ἁγίων ἡμῶν πατέρων ἐκτεθειμένοις ἐναντία τὰ παρὰ τῶν Ἀκεφάλων πεπλαστουργημένα καθεστᾶσι. *10* 1128 *15*

78 Καὶ πρῶτον τὸν ἐν ἁγίοις Ἀθανάσιον τὸν ὑπ' αὐτῶν συκοφαντούμενον τοῖς τούτων ἀντιτίθεμεν πλάσμασι· γράφει γοῦν ἐν τῶι λόγωι τῶι περὶ τῆς σωτηριώδους ἐπιφανείας οὕτως c. Apoll. 2, 15 [PG 26, 1137]

Εἴρηται κάθου ἐκ δεξιῶν μου καὶ δόξασόν με, πάτερ, τῆι ἰδίωι δόξηι. οὐ χωρισθεὶς τῆς δόξης τοῦτο λέγει, ἀλλ' ἐν ἀδόξωι σώματι γεγονώς, ἵνα δείξηι οὐ χωριζομένην τῆς θεικῆς δόξης τὴν τοῦ δούλου μορφήν, ἀλλὰ ταύτην ἐπιδεικνυμένην. διὸ λέγει καὶ ἐδόξασά σε καὶ πάλιν δοξάσω, μίαν τὴν πρὸ σώματος καὶ ἐν σώματι δόξαν δεικνύς. Ps. 109, 1. Ioh. 17, 5 *20* Ioh. 12, 28

79 Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Ἀθανάσιος ἐν τῶι πρὸς Ἀδελφιον λόγωι· οὐ κτίσμα τι προσκυνοῦμεν, μὴ γένοιτο· ἐθνικῶν γὰρ καὶ Ἀρειανῶν ἡ τοιαύτη πλάνη, ἀλλὰ τὸν κύριον τῆς δόξης σαρκωθέντα τὸν τοῦ θεοῦ λόγον προσκυνοῦμεν. εἰ γὰρ καὶ ἡ σὰρξ αὐτὴ καθ' ἑαυτὴν μέρος ἐστὶ τῶν κτισμάτων, ἀλλὰ θεοῦ γέγονεν σῶμα καὶ οὔτε τὸ τοιοῦτον σῶμα καθ' ἑαυτὸ διαιροῦντες ἀπὸ τοῦ λόγου προσκυνοῦμεν οὔτε τὸν λόγον προσκυνῆσαι θέλοντες μακρύνομεν ἀπὸ τῆς σαρκὸς αὐτόν, ἀλλ' εἰδότες, καθὰ προείπομεν, τὸ ὁ λόγος σὰρξ ἐγένετο τοῦτον καὶ ἐν σαρκὶ γενόμενον ἐπιγινώσκομεν θεόν. τίς τοιγαροῦν οὕτως ἄφρων ἐστὶν ὡς λέγειν τῶι κυρίωι, ἀπόστα ἀπὸ τοῦ σώματος, ἵνα σε προσκυνήσω, ἢ τίς οὕτως ἀσεβής ἐστιν ὡς μετὰ τῶν ἀφρόνων Ἰουδαίων διὰ τὸ σῶμα λέγειν αὐτῶι, διά τί σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν; ἀλλ' οὐ τοιοῦτος ὁ λεπρός· προσεκύνει γὰρ τὸν κύριον ἐν σώματι ὄντα καὶ ἐπεγίνωσκεν ὅτι θεὸς ἦν, λέγων κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. καὶ οὔτε διὰ τὴν σάρκα ἐνόμισεν κτίσμα εἶναι τὸν τοῦ θεοῦ λόγον οὔτε διὰ τὸ εἶναι τὸν λόγον δημιουργὸν πάσης κτίσεως ἐξουθένει τὴν σάρκα ἣν ἐνδυσάμενος ἦν, ἀλλ' ἐν κτιστῶι ναῶι τὸν κτίστην τοῦ παντὸς προσεκύνει καὶ ἐκαθαρίζετο. ad Adelph. 3 [PG 26, 1073] *25* Ioh. 1, 14 *30* Ioh. 10, 33 Mt. 8, 2 *35*

80 Καὶ μεθ' ἕτερα· ποῦ δὲ ὅλως οἱ ἀσεβεῖς καὶ καθ' ἑαυτὴν εὑρήσουσι τὴν σάρκα ἣν ἔλαβεν ὁ σωτήρ, ἵνα καὶ πολεμῶσι λέγειν· οὐ προσκυνοῦμεν ἡμεῖς τὸν κύριον μετὰ τῆς σαρκός, ἀλλὰ διαιροῦμεν τὸ σῶμα καὶ μόνωι τούτωι λατρεύομεν; ὁ μὲν οὖν μακάριος Στέφανος καὶ ἐν οὐρανοῖς εἶδεν τὸν Ἰησοῦν ἑστηκότα· οἱ δὲ ἄγγελοι ἔλεγον τοῖς μαθηταῖς· οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. καὶ αὐτὸς δὲ ὁ κύριος προσφωνῶν εἴρηκεν τῶι πατρὶ πάτερ, θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ οὗτοι πάντοτε μετ' ἐμοῦ ὦσιν. καὶ ὅλως, l. c. 5 p. 1077 Act. 7, 55. 1, 11 *40* Ioh. 17, 24

17 καὶ πρῶτον — p. 20, 44 προσκυνούμενος om. Mai C

15 δείξομεν C 38 λατρεύωμεν C

εἰ ἀδιαίρετός ἐστιν ἡ σὰρξ ἀπὸ τοῦ λόγου, πῶς οὐκ ἀνάγκη τούτους ἢ ἀποθέσθαι τὴν πλάνην καὶ προσκυνεῖν λοιπὸν τὸν πατέρα ἐν τῶι ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν ἢ μὴ προσκυνοῦντας μηδὲ λατρεύοντας τῶι ἐν σαρκὶ γενομένωι λόγωι πανταχόθεν ἔξω βάλλεσθαι καὶ μηκέτι Χριστιανοῖς, ἀλλ' ἐθνικοῖς ἢ μετὰ τῶν νῦν Ἰουδαίων συναριθμεῖσθαι;

l. c. 7 p. 1080 Καὶ μεθ' ἕτερα· ἐβουλόμεθα δὲ τὴν σὴν εὐλάβειαν πυθέσθαι τοῦτο παρ' αὐτῶν· ἡνίκα υἱοὶ Ἰσ- 81
ραὴλ ἐκελεύοντο ἀνέρχεσθαι εἰς τὴν Ἱερουσαλὴμ καὶ προσκυνεῖν ἐν τῶι ναῶι κυρίου, ἔνθα ἡ κιβωτὸς καὶ ὑπεράνω ταύτης ἦν χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον, καλῶς ἐποίουν ἢ τοὐναντίον; εἰ μὲν οὖν φαύλως ἔπραττον, πῶς οἱ τοῦ νόμου τούτου κατολιγωροῦντες ὑπὸ ἐπιτιμίαν
Deut. 16, 16 ἐγίνοντο; γέγραπται γὰρ ὃς ἐὰν ἐξουθενήσηι καὶ μὴ ἀναβῆι, ἐξολοθρευθήσεται ἐκ τοῦ
10 λαοῦ αὐτοῦ. εἰ δὲ καλῶς ἔπραττον καὶ ἐν τούτωι εὐάρεστοι τῶι θεῶι ἐγίνοντο, πῶς οὐκ ἀπολωλέναι πολλάκις ἄξιοί εἰσιν οἱ μιαροὶ καὶ πάσης αἱρέσεως αἴσχιστοι Ἀρειανοί, ὅτι τὸν πάλαι λαὸν ἀποδεχόμενοι διὰ τὴν πρὸς τὸν ναὸν τιμὴν οὐ βούλονται τὸν κύριον ἐν σαρκὶ ὡς ἐν ναῶι ὄντα προσκυνεῖν; καίτοι καὶ ὁ πάλαι ναὸς ἐκ λίθων ἦν καὶ χρυσοῦ κατασκευασθεὶς ὡς σκιά· ἐλθούσης γὰρ
Mt. 24, 2 τῆς ἀληθείας πέπαυται λοιπὸν ὁ τύπος καὶ οὐκ ἔμεινεν κατὰ τὴν κυριακὴν φωνὴν λίθος ἐπὶ λίθον
15 ἐν αὐτῶι, ὃς οὐ κατελύθη. καὶ οὔτε τὸν ναὸν βλέποντες ἐκ λίθων ἐνόμισαν καὶ τὸν ἐν τῶι ναῶι λαλοῦντα κύριον εἶναι κτίσμα οὔτε τὸν ναὸν ἐξουθενοῦντες ἀπερχόμενοι μακρὰν προσεκύνουν, ἀλλ' εἰς αὐτὸν ἐρχόμενοι νομίμως ἐλάτρευον τῶι θεῶι τῶι ἀπὸ τοῦ ναοῦ χρηματίζοντι. τούτου δὲ οὕτω γινομένου πῶς τὸ σῶμα τοῦ κυρίου οὐ πανάγιον ἀληθῶς; ὑπὸ μὲν γὰρ ἀρχαγγέλου τοῦ Γαβριὴλ εὐηγγελίσθη, ὑπὸ δὲ τοῦ πνεύματος τοῦ ἁγίου πέπλασται καὶ τοῦ λόγου γέγονεν ἔνδυμα
20 καὶ ναὸς καὶ ὄργανον ἀδιαίρετον.

Δήλης τοίνυν γενομένης τῆς τοῦ ἐν ἁγίοις Ἀθανασίου διδασκαλίας τίς οὕτως ἐστὶν ἀνόητος, 82
ὡς ἢ τοῦ ἐν ἁγίοις Ἀθανασίου λέγειν εἶναι τὰ παρὰ τῶν αἱρετικῶν προφερόμενα ἢ ἐναντία γράψαι αὐτὸν ἑαυτῶι τὸν ἐν ἁγίοις νομίζειν πατέρα; καὶ ὁ ἐν ἁγίοις δὲ Κύριλλος τὰ παραπλήσια ἡμᾶς
24 ἐκδιδάσκει. ἐν γὰρ τῶι προσφωνητικῶι τῶι πρὸς Θεοδόσιον λέγει τάδε

Act. Conc. I 1, 1 p. 63, 15–17 Ὁ δὲ τῶι γυναίωι προσλαλῶν ὁ εἷς καὶ μόνος κύριος ἦν Ἰησοῦς Χριστός, ἐκ τῆς προσκυνούσης 83
ἀνθρωπότητος καὶ τῆς προσκυνουμένης θεότητος τὸ εἶναί τε καὶ ὀνομάζεσθαι θεός τε ὁμοῦ καὶ ἄνθρωπος ἀληθὲς ἔχων ἐφ' ἑαυτῶι.

Καὶ ἐν τῶι ἐννεακαιδεκάτωι λόγωι τῶν Σχολίων αὐτοῦ ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος γράφει τάδε 84
Act. Conc. I 5 p. 229, 35–230, 11 Ἡγιάσθαι λέγεται διὰ τοῦ πνεύματος· καὶ μὴν καὶ ἁγιάζει τοὺς προσιόντας αὐτῶι. ἐβα-
30 πτίσθη κατὰ τῆν σάρκα, καὶ ἐβάπτιζεν ἐν ἁγίωι πνεύματι. πῶς οὖν ὁ αὐτὸς ἁγιάζει καὶ ἁγιάζεται, βαπτίζει καὶ βαπτίζεται; κατ' ἄλλο καὶ ἄλλο. ἁγιάζεται γὰρ ἀνθρωπίνως καὶ οὕτω βαπτίζεται· ἁγιάζει θεικῶς, βαπτίζει δὲ ἐν ἁγίωι πνεύματι. αὐτὸς ἐγείρων τοὺς νεκροὺς ἐκ νεκρῶν ἐγείρεται καὶ ζωὴ κατὰ φύσιν ὑπάρχων ἐζωοποιῆσθαι λέγεται. καὶ πῶς τοῦτο; πάλιν κατ' ἄλλο καὶ ἄλλο. ὁ γὰρ αὐτὸς ἐγήγερται μὲν ἐκ νεκρῶν ἐζωοποιῆσθαί τε λέγεται κατὰ τὴν σάρ-
35 κα, ζωοποιεῖ δὲ καὶ ἀνίστησι τοὺς νεκροὺς ὡς θεός. πάσχει καὶ οὐ πάσχει κατ' ἄλλο καὶ ἄλλο. πάσχει μὲν γὰρ ἀνθρωπίνως σαρκὶ καὶ καθ' ὃ ἄνθρωπος, ἀπαθὴς δέ ἐστι θεικῶς ὡς θεός. προ-
Ioh. 4, 22 σκεκύνηκε μεθ' ἡμῶν· ὑμεῖς γάρ φησι, προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς δὲ προσκυνοῦ-
Phil. 2, 10 μεν ὃ οἴδαμεν. ἀλλ' ἐστὶ καὶ προσκυνητός· κάμψει γὰρ αὐτῶι πᾶν γόνυ. καὶ τοῦτο δὲ πάλιν κατ' ἄλλο καὶ ἄλλο. προσκυνεῖ μὲν γὰρ ὡς τὴν προσκυνοῦσαν φύσιν λαβών, προσκυνεῖται δὲ
40 πάλιν αὐτὸς ὡς τῆς προσκυνούσης φύσεως ὑπάρχων ἐπέκεινα καθ' ὃ νοεῖται θεός.

Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τῶι ὑπομνήματι τοῦ κατὰ Ἰωάννην εὐαγγελίου 85
λέγει τάδε

PG 73, 160. 161 Διὰ τοῦτο καὶ θεός ἐστι κατὰ φύσιν καὶ μετὰ σαρκὸς ὡς ἰδίαν ἔχων αὐτὴν καὶ ὡς ἕτερόν τι παρ' αὐτὴν νοούμενος καὶ ἐν αὐτῆι καὶ σὺν αὐτῆι προσκυνούμενος.

86 Διὰ πάντων οἶμαι τῶν εἰρημένων σαφῶς ἀποδέδεικται ὅτι ἐναντία ταῖς τῶν ἁγίων πατέρων διδασκαλίαις ἐστὶν καὶ ἀλλότρια τῆς τῶν Χριστιανῶν πίστεως τὰ παρὰ τῶν αἱρετικῶν προφερόμενα φανερῶς τοῦ τε ἐν ἁγίοις Ἀθανασίου καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ δύο φύσεις ὁμολογούντων καὶ τὴν μὲν ἄκτιστον, τὴν δὲ κτιστὴν λεγόντων καὶ μιᾶι προσκυνήσει προσκυνεῖσθαι διδασκόντων τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστόν. καὶ ἀρκεῖ μὲν τὰ εἰρημένα πρὸς ἔλεγχον τῆς τῶν Ἀκεφάλων κακουργίας· πλὴν οὐδὲν ἄτοπον καὶ ἑτέρως αὐτῶν ἐλέγξαι τὴν κακοήθειαν, ὅτι ἡ μὲν προφερομένη παρ' αὐτῶν ἐπιστολὴ ὡς Ἰουλίου δῆθεν τοῦ ἐπισκόπου Ῥώμης καὶ ἄλλως δείκνυται πεπλασμένη. οἱ γὰρ ἱερεῖς τῆς πρεσβυτέρας Ῥώμης τῆι ἀποστολικῆι διὰ πάντων ἀκολουθήσαντες παραδόσει οὐδέποτε πρὸς ἀλλήλους διεφώνησαν, ἀλλὰ τὴν ὀρθὴν καὶ ἀληθινὴν μέχρι σήμερον διεφύλαξαν δόξαν· ἔπειτα δὲ ὡς οὐκ ἔθος ἐστὶ τῶι τῆς πρεσβυτέρας Ῥώμης πατριάρχηι ἐπιγραφῆι τοιαύτηι χρῆσθαι οἵαν οὗτοι προφέρουσιν, οὐ λέγομεν πρὸς πρεσβυτέρους, ὥσπερ αὐτοὶ συκοφαντοῦσιν, ἀλλ' οὔτε πρὸς ἐπισκόπους οὔτε πρὸς αὐτοὺς πατριάρχας· τρίτον δὲ ὅτι καὶ πέμψαντες εἰς τὰ ἀρχεῖα τοῦ ἐπισκοπείου τῆς πρεσβυτέρας Ῥώμης οὐδὲν τοιοῦτο παρὰ Ἰουλίου τοῦ τῆς ὁσίας μνήμης γεγραμμένον εὕρομεν. ἡ δὲ ὡς παρὰ Ἀθανασίου τοῦ ἐν ἁγίοις πρὸς Ἰοβιανὸν ὑπ' αὐτῶν προφερομένη πολλοῖς ἐλέγχεται τρόποις ψευδὴς παντάπασι καθεστῶσα· οὔτε γὰρ ἐπιστολιμαῖον ἔχει χαρακτῆρα οὔτε πρεπούσηι βασιλεῖ ὑπαγορίαι συντέθειται. ἀλλ' οὐδὲ ἐπὶ τῶν Ἰοβιανοῦ χρόνων περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἀμφισβήτησίς τις ἐκεκίνητο, ἀλλὰ περὶ τῆς ἐν τῆι ἁγίαι τριάδι ὁμοουσιότητος οἷα τῆς Ἀρειανικῆς μανίας τηνικαῦτα ταῖς ἐκκλησίαις ὀχλούσης, περὶ ἧς καὶ ἡ ἀληθὴς ἐπιστολὴ τοῦ ἐν ἁγίοις Ἀθανασίου πρὸς Ἰοβιανὸν γεγραμμένη φέρεται, ἣι καὶ Γρηγόριος ὁ θεολόγος ἐν τῶι ἐπιταφίωι τοῦ ἁγίου Ἀθανασίου μαρτυρεῖ, καὶ Τιμόθεος δὲ ὁ μαθητὴς Ἀπολιναρίου ταύτην ὁλόγραφον ἐν τῆι οἰκείαι τίθησιν ἱστορίαι ἔχουσαν οὕτως

87 Τῶι εὐσεβεστάτωι καὶ φιλανθρωποτάτωι νικητῆι αὐγούστωι Ἰοβιανῶι Ἀθανάσιος καὶ οἱ λοιποὶ ἐπίσκοποι ἐλθόντες ἐκ προσώπου πάντων τῶν ἀπὸ τῆς Αἰγύπτου καὶ Θηβαίδος καὶ Λιβυῶν ἐπισκόπων. Πρέπουσα θεοφιλεῖ βασιλεῖ φιλομαθὴς προαίρεσις καὶ πόθος τῶν οὐρανίων· οὕτως γὰρ ἀληθῶς καὶ τὴν καρδίαν ἕξεις ἐν χειρὶ θεοῦ καὶ τὴν βασιλείαν μετ' εἰρήνης πολλαῖς ἐτῶν περιόδοις διατελέσεις. θελησάσης τοίνυν τῆς σῆς εὐσεβείας μαθεῖν παρ' ἡμῶν τὴν τῆς καθολικῆς ἐκκλησίας πίστιν εὐχαριστήσαντες ἐπὶ τούτωι τῶι κυρίωι ἐβουλευσάμεθα πάντων μᾶλλον τὴν παρὰ τῶν πατέρων ὁμολογηθεῖσαν ἐν Νικαίαι πίστιν ὑπομνῆσαι τὴν σὴν θεοσέβειαν. ταύτην γὰρ ἀθετήσαντές τινες ἡμῖν μὲν ποικίλως ἐπεβούλευσαν, ὅτι μὴ ἐπειθόμεθα τῆι Ἀρειανικῆι αἱρέσει, αἴτιοι δὲ γεγόνασι τῆς τοιαύτης αἱρέσεως καὶ σχισμάτων τῆι καθολικῆι ἐκκλησίαι. ἡ μὲν γὰρ ἀληθὴς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστις φανερὰ πᾶσι καθέστηκεν ἐκ τῶν θείων γραφῶν γινωσκομένη τε καὶ ἀναγινωσκομένη, ἐν ταύτηι γὰρ καὶ οἱ ἅγιοι τελειωθέντες ἐμαρτύρησαν καὶ νῦν ἀναλύσαντες εἰσὶν σὺν Χριστῶι· ἔμεινεν δ' ἂν ἡ πίστις διὰ παντὸς ἀβλαβής, εἰ μὴ πονηρία τινῶν αἱρετικῶν παραποιῆσαι ταύτην ἐτόλμησεν. Ἄρειος γάρ τις καὶ οἱ σὺν αὐτῶι διαφθεῖραι ταύτην καὶ ἀσέβειαν κατ' αὐτῆς εἰσαγαγεῖν ἐπεχείρησαν φάσκοντες ἐξ οὐκ ὄντων καὶ κτίσμα καὶ ποίημα καὶ τρεπτὸν εἶναι τὸν υἱὸν τοῦ θεοῦ πολλούς τε ἐν τούτοις ἠπάτησαν, ὥστε καὶ τοὺς δοκοῦντας εἶναί τι συναπαχθῆναι αὐτῶν τῆι βλασφημίαι. καὶ

---

23 Τῶι εὐσεβεστάτωι — p. 24, 38 ὁμοίως δὲ om. Mai 23 sq. ex hoc codice primus edidit Lietzmann p. 279 sq. praeter corpora Athanasiana (cf. Zeitschr. f. neutestamentl. Wiss. 34 p. 167[69]) habetur epistula apud Theodoretum 4, 3

C

38 αὐτῶν Theod. Ath. αὐτῶ C

φθάσαντες μὲν οἱ πατέρες ἡμῶν συνελθόντες, ὡς προείπομεν, ἐν τῇι κατὰ Νίκαιαν συνόδωι τὴν μὲν Ἀρειανῶν αἵρεσιν ἀνεθεμάτισαν, τὴν δὲ τῆς καθολικῆς ἐκκλησίας πίστιν ὡμολόγησαν ἐγγράφως, ὥστε ταύτης πανταχοῦ κηρυττομένης ἀποσβεσθῆναι τὴν ἀναφθεῖσαν αἵρεσιν. ἦν μὲν οὖν αὕτη κατὰ πᾶσαν ἐκκλησίαν γινωσκομένη καὶ κηρυττομένη· ἀλλ' ἐπειδὴ τὴν Ἀρειανὴν αἵρεσιν ἀνανεῶσαι βουλόμενοι τινὲς μὲν αὐτὴν τὴν ἐν Νικαίαι παρὰ τῶν πατέρων ὁμολογηθεῖσαν πίστιν τετολμήκασιν ἀθετῆσαι, τινὲς δὲ σχηματίζονται μὲν ὁμολογεῖν αὐτήν, ταῖς δ' ἀληθείαις ἀρνοῦνται παρερμηνεύοντες τὸ ὁμοούσιον καὶ αὐτοὶ βλασφημοῦντες εἰς τὸ πνεῦμα τὸ ἅγιον ἐν τῶι φάσκειν αὐτοὺς κτίσμα αὐτὸ εἶναι καὶ ποίημα διὰ τοῦ υἱοῦ γεγονός, ἀναγκαίως θεωρήσαντες τὴν ἐκ τῆς τοιαύτης βλασφημίας βλάβην κατὰ τῶν λαῶν ἐπιδοῦναι τῆι σῆι εὐσεβείαι τὴν ἐν Νικαίαι ὁμολογηθεῖσαν πίστιν ἐσπουδάσαμεν, ἵνα γνῶι σου ἡ θεοσέβεια μεθ' ὅσης ἀκριβείας γέγραπται καὶ ὅσον πλανῶνται οἱ παρὰ ταύτην διδάσκοντες. γίνωσκε γάρ, θεοφιλέστατε αὔγουστε, ὅτι αὕτη μὲν ἐξ αἰῶνός ἐστι κηρυττομένη, ταύτην δὲ ὡμολόγησαν οἱ ἐν Νικαίαι συνελθόντες πατέρες καὶ ταύτηι σύμψηφοι τυγχάνουσιν πᾶσαι αἱ πανταχοῦ κατὰ τόπον ἐκκλησίαι αἵ τε κατὰ Σπανίαν καὶ Βρεττανίαν <καὶ> Γαλλίας καὶ τῆς Ἰταλίας πάσης καὶ Δαλματίας Δακίας τε καὶ Μυσίας Μακεδονίας τε καὶ πάσης Ἑλλάδος καὶ αἱ κατ' Ἀφρικὴν πᾶσαι καὶ Σαρδινίαν καὶ Κύπρον καὶ Κρήτην Παμφυλίαν τε καὶ Λυκίαν καὶ Ἰσαυρίαν καὶ Πισιδίαν καὶ αἱ κατὰ πᾶσαν Αἴγυπτον καὶ τὰς Λιβύας καὶ Πόντον καὶ Καππαδοκίαν καὶ τὰ πλησίον μέρη καὶ αἱ κατὰ Ἀνατολὴν ἐκκλησίαι παρὲξ ὀλίγων τῶν τὰ Ἀρείου φρονούντων. πάντων γὰρ τῶν προειρημένων τῆι πείραι ἔγνωμεν τὴν γνώμην καὶ γράμματα ἔχομεν. καὶ οἶδας, ὦ θεοφιλέστατε αὔγουστε, ὅτι κἂν ὀλίγοι τινὲς ἀντιλέγωσι ταύτηι τῆι πίστει, οὐ δύνανται πρόκριμα ποιεῖν πάσηι τῆι οἰκουμένηι. πολλῶι γὰρ χρόνωι βλαβέντες ἐκ τῆς Ἀρειανῆς αἱρέσεως φιλονεικότερον νῦν ἀνθίστανται τῆι θεοσεβείαι. καὶ ὑπὲρ τοῦ γινώσκειν τὴν σὴν θεοσέβειαν καίτοι γινώσκουσαν ὅμως ἐσπουδάσαμεν τὴν ἐν Νικαίαι πίστιν ὁμολογηθεῖσαν ὑπὸ τριακοσίων ἐπισκόπων ὑποτάξαι. ταύτηι τῆι πίστει, θεοσεβέστατε αὔγουστε, [ἧι] πάντας ἐπιμένειν ἀναγκαῖον ὡς θείαι τε καὶ ἀποστολικῆι καὶ μηδὲν μετακινεῖν αὐτῆς πιθανολογίαις καὶ λογομαχίαις, ὅπερ πεποιήκασιν ἐξ ἀρχῆς οἱ Ἀρειομανῖται ἐξ οὐκ ὄντων τὸν υἱὸν τοῦ θεοῦ λέγοντες καὶ ὅτι ἦν ποτε ὅτε οὐκ ἦν, καὶ κτιστὸς καὶ ποιητὸς καὶ τρεπτός ἐστιν. διὰ τοῦτο γὰρ καθὰ προείπομεν, καὶ ἡ ἐν Νικαίαι σύνοδος ἀνεθεμάτισεν τὴν τοιαύτην αἵρεσιν, τὴν δὲ τῆς ἐκκλησίας πίστιν ὡμολόγησεν. οὐ γὰρ ἁπλῶς ὅμοιον εἰρήκασι τὸν υἱὸν τῶι πατρί, ἵνα μὴ ἁπλῶς ὅμοιος θεῶι, ἀλλ' ἐκ θεοῦ θεὸς ἀληθινὸς πιστεύηται, ἀλλ' ὁμοούσιον ἔγραψαν, ὅπερ ἐστὶ γνησίου καὶ ἀληθινοῦ υἱοῦ ἐξ ἀληθινοῦ καὶ φύσει πατρός. ἀλλ' οὐδὲ ἀπηλλοτρίωσαν τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἀλλὰ μᾶλλον συνεδόξασαν αὐτὸ τῶι πατρὶ καὶ τῶι υἱῶι ἐν τῆι μιᾶι τῆς ἁγίας τριάδος πίστει διὰ τὸ καὶ μίαν εἶναι τὴν ἐν τῆι ἁγίαι τριάδι θεότητα. καὶ ἔστιν ἡ ἐν Νικαίαι ἐκτεθεῖσα πίστις ἥδε

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ [τὸν μονογενῆ], γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῶι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῶι οὐρανῶι καὶ ἐν τῆι γῆι, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῆι τρίτηι ἡμέραι καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας ὅτι ἦν ποτε ὅτε οὐκ ἦν, καὶ ὅτι πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων

C

14 καὶ[2] Ath. Th. om. C 20 ἀντιλέγουσι C 24 ἧ C om. Ath. Th. 35 τὸν μονογενῆ C om. Ath. Th.

ἐγίνετο ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

88 Ταύτηι τοίνυν τῆι ἐπιστολῆι καὶ ὁ θεολόγος, καθὰ προειρήκαμεν, μαρτυρεῖ Γρηγόριος λέγων τάδε

'Ανίσταται δὲ βασιλεὺς ἕτερος, οὐκ ἀναιδὴς τῶι προσώπωι κατὰ τὸν προειρημένον οὐδὲ τοῖς πονηροῖς ἔργοις καὶ ἐπιστάταις ἐκθλίβων τὸν 'Ισραήλ, ἀλλὰ καὶ λίαν εὐσεβής τε καὶ ἥμερος, ὃς ἵνα ἀρίστην ἑαυτῶι καταστήσηται τὴν τῆς βασιλείας κρηπῖδα καὶ ὅθεν δεῖ τῆς εὐνομίας ἄρξηται, λύει μὲν τοῖς ἐπισκόποις τὴν ἐξορίαν τοῖς τε ἄλλοις ἅπασι καὶ πρὸ πάντων τῶι πρὸ πάντων τὴν ἀρετὴν καὶ προδήλως ὑπὲρ τῆς εὐσεβείας πολεμηθέντι, ζητεῖ δὲ τῆς καθ' ἡμᾶς πίστεως τὴν ἀλήθειαν ὑπὸ πολλῶν διασπασθεῖσαν καὶ εἰς πολλὰς δόξας καὶ μοίρας νενεμημένην, ὥστε μάλιστα μὲν τὸν κόσμον ὅλον, εἰ οἷόν τε, συμφρονῆσαι καὶ εἰς ἓν ἐλθεῖν τῆι συνεργείαι τοῦ πνεύματος, εἰ δ' οὖν, ἀλλ' αὐτός τε μετὰ τῆς βελτίστης γενέσθαι κἀκείνηι παρασχεῖν τὸ κράτος καὶ παρ' αὐτῆς ἀντιλαβεῖν λίαν ὑψηλῶς τε καὶ μεγαλοπρεπῶς περὶ τῶν μεγίστων διανοούμενος. ἔνθα δὴ καὶ μάλιστα διεδείχθη τοῦ ἀνδρὸς ἡ καθαρότης καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως· τῶν γὰρ ἄλλων ἁπάντων ὅσοι τοῦ καθ' ἡμᾶς λόγου, τριχῆι νενεμημένων καὶ πολλῶν μὲν ὄντων τῶν περὶ τὸν υἱὸν ἀρρωστούντων, πλειόνων δὲ τῶν περὶ τὸ πνεῦμα τὸ ἅγιον, ἔνθα καὶ τὸ ἧττον ἀσεβεῖν εὐσεβεῖν ἐνομίσθη, ὀλίγων δὲ τῶν κατ' ἀμφότερα ὑγιαινόντων πρῶτος καὶ μόνος κομιδῆι σὺν ὀλίγοις ἀποτολμᾶι τὴν ἀλήθειαν σαφῶς οὕτως καὶ διαρρήδην τὴν μίαν θεότητα τῶν τριῶν καὶ οὐσίαν ἐγγράφως ὁμολογήσας. καὶ ὃ τῶι πολλῶι τῶν πατέρων ἀριθμῶι περὶ τὸν υἱὸν ἐχαρίσθη πρότερον, τοῦτο περὶ τοῦ ἁγίου πνεύματος αὐτὸς ἐμπνευσθεὶς ὕστερον καὶ δῶρον βασιλικὸν ὄντως καὶ μεγαλοπρεπὲς τῶι βασιλεῖ προσενεγκὼν ἔγγραφον τὴν εὐσέβειαν κατὰ τῆς ἐγγράφου καινοτομίας, ἵνα βασιλεῖ μὲν βασιλεύς, λόγωι δὲ λόγος, γράμματι δὲ γράμμα καταπαλαίηται. PG 35, 1121

89 'Ελληλεγμένοι τοίνυν οἱ τῆς ἀληθείας ἐχθροὶ παυσάσθωσαν ὀψέ ποτε τὰ τῶν αἱρετικῶν φρονοῦντες καὶ τοὺς ἁγίους ἡμῶν συκοφαντοῦντες πατέρας ἢ φανερῶς ἀρνείσθωσαν τοὺς πατέρας καὶ ὡς αἱρετικοὶ παρεισφερέτωσαν τὰ οἰκεῖα. οὐδὲ γὰρ ἀγνοεῖν χρὴ ὅτι τὸ μίαν λέγειν φύσιν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ Μανιχαῖος μὲν πρῶτος ἐπενόησεν, εἶτα μετ' ἐκεῖνον 'Απολινάριος, ὃν οἱ 'Ακέφαλοι διεδέξαντο. λέγει γοῦν Μανιχαῖος ἐν τῆι πρὸς 'Αδδὰν ἐπιστολῆι τάδε

90 Τῶν Γαλιλαίων δύο ὀνομαζόντων φύσεις ἔχειν τὸν Χριστὸν πλατὺν καταχέομεν γέλωτα ὡς οὐκ εἰδότων ὅτι ἡ οὐσία τοῦ φωτὸς ἑτέραι οὐ μίγνυται ὕληι, ἀλλ' ἐστὶν ἀκραιφνὴς ἑνωθῆναι ἑτέραι οὐσίαι μὴ δυναμένη, κἂν δοκῆι ταύτηι συνῆφθαι· ἡ δὲ τοῦ Χριστοῦ προσηγορία ὄνομά ἐστι καταχρηστικὸν οὔτε εἴδους οὔτε οὐσίας ὑπάρχον σημαντικόν. τὸ δὲ ἀνώτατον φῶς τοῖς ἑαυτοῦ συνουσιωμένον ἔδειξεν ἑαυτὸ ἐν τοῖς ὑλικοῖς σώμασι σῶμα, μία ὂν αὐτὸ φύσις τὸ πᾶν.

91 'Ο αὐτὸς ἀσεβὴς Μανιχαῖος ἐκ τῆς πρὸς Σκυθιανὸν ἐπιστολῆς· ὁ δὲ τοῦ ἀιδίου φωτὸς υἱὸς τὴν ἰδίαν οὐσίαν ἐν τῶι ὄρει ἐφανέρωσεν, οὐ δύο ἔχων φύσεις, ἀλλὰ μίαν ἐν τῶι ὁρατῶι καὶ ἀοράτωι.

92 'Ο αὐτὸς ἀσεβὴς Μανιχαῖος ἐκ τῆς πρὸς Κύνδορον Σαρακηνὸν ἐπιστολῆς· 'Ιουδαίων βουλομένων λιθάσαι ποτὲ τὸν Χριστὸν καὶ τῆς παρανομίας αὐτῶν τὴν τόλμαν εἰς ἔργον ἀγαγεῖν ἔδειξε σαφῶς τὴν ἑαυτοῦ οὐσίαν ὁ τοῦ ἀνωτάτου φωτὸς υἱὸς καὶ μέσος αὐτῶν διελθὼν οὐχ ὡρᾶτο. ἡ γὰρ ἄυλος μορφὴ συσχηματισαμένη τὸ εἶδος τῆς σαρκὸς ὁρατὴ μὲν οὐκ ἦν, ἐψηλαφᾶτο δὲ οὐδαμῶς Ioh. 8, 59

30–36 habentur apud Eustathium monachum PG 86, 904 37–24, 2 habentur Doctr. 9 XIII C

34 ὢν C

διὰ τὸ μηδεμίαν ἔχειν κοινωνίαν τὴν ὕλην πρὸς τὸ ἄυλον. μία γὰρ φύσις τὸ ὅλον, εἰ καὶ σαρκὸς ὡρᾶτο μορφή.

'Απολιναρίου τοίνυν καὶ Μανιχαίου ἀρνουμένων τὴν ἀλήθειαν τῶν ἐν Χριστῶι δύο φύσεων **93**
τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος πρόδηλοι καθεστήκασιν οἱ τὴν τῶν 'Ακεφάλων δικαίως
κληρωσάμενοι προσηγορίαν τὰ τῶν εἰρημένων ἀθέων φρονοῦντες ἀνδρῶν, εἰ καὶ τὰς προσηγορίας
αὐτῶν δολερῶς ἀπωθοῦνται. ὅτι δὲ ταῦτα οὕτως ἔχει, φανερὸν καθέστηκεν ἐξ ὧν Διόσκορος
καὶ Τιμόθεος ὁ Αἴλουρος, οὓς οἱ 'Ακέφαλοι πατέρας καὶ διδασκάλους ἐπιγράφονται, τοῖς μὲν
'Απολιναρίου καὶ Μανιχαίου πονηροῖς δόγμασιν ἀκολουθοῦσιν, ἐναντία δὲ τῶν ἁγίων πατέρων
'Αθανασίου καὶ Κυρίλλου φρονοῦσίν τε καὶ ἐκτίθενται. ὅπερ εὐθὺς ἐκ τῶν ἐφεξῆς δείξομεν.
Διόσκορος μὲν γὰρ ἐν τῆι ἐπιστολῆι ἣν ἀπὸ Γαγγρῶν εἰς 'Αλεξάνδρειαν ἔπεμψεν, λέγει τάδε

Εἰ μὴ τὸ αἷμα τοῦ Χριστοῦ κατὰ φύσιν θεοῦ ἐστιν καὶ οὐκ ἀνθρώπου, τί διαφέρει τοῦ αἵματος **94**
τῶν τράγων καὶ τῶν μόσχων καὶ τῆς σποδοῦ τῆς δαμάλεως; καὶ τοῦτο γὰρ γήινον καὶ φθαρτὸν
καὶ τὸ αἷμα τῶν κατὰ φύσιν ἀνθρώπων γήινόν ἐστι καὶ φθαρτόν, ἀλλὰ μὴ γένοιτο ἑνὸς τῶν
κατὰ φύσιν λέγειν ἡμᾶς ὁμοούσιον τὸ αἷμα τοῦ Χριστοῦ.

Ταύτης τοίνυν τῆς Διοσκόρου βλασφημίας τί ἂν γένοιτο χαλεπώτερον; ἀρνούμενος γὰρ ὁμο- **95**
ούσιον εἶναι τὸ αἷμα τοῦ Χριστοῦ τῆι ἀνθρωπίνηι φύσει εὑρίσκεται μὴ ὁμολογῶν ὁμοούσιον ἡμῖν
εἶναι τὴν σάρκα τοῦ κυρίου καὶ ἀθετῶν τὴν τῶν ἀνθρώπων σωτηρίαν ὁμοούσιον τὸ σῶμα λέγων
τῆι τοῦ λόγου θεότητι. ὅτι δὲ ἐναντία ἐστὶ τὰ παρ' αὐτοῦ λεγόμενα ταῖς τε θείαις γραφαῖς
καὶ ταῖς τῶν πατέρων παραδόσεσι, παραθήσωμεν 'Ωσηὲ τὸν προφήτην λέγοντα οὐαὶ αὐτοῖς·
Hos. 9, 12 σάρξ μου ἐξ αὐτῶν, τὸν δὲ ἐν ἁγίοις 'Αθανάσιον ἐν τῆι πρὸς 'Επίκτητον ἐπιστολῆι διδάσκοντα
ταῦτα

4 p. 7, 4–11 Ludw. Πόθεν ὑμῖν εἰπεῖν, ὦ οὗτοι, ὁμοούσιον εἶναι τὸ σῶμα τῆς τοῦ λόγου θεότητος; ἀπὸ γὰρ τούτου **96**
καλὸν ἄρξασθαι, ἵνα τούτου δεικνυμένου σαθροῦ καὶ πάντα τὰ ἄλλα τοιαῦτα δειχθῆι. ἀπὸ
μὲν οὖν τῶν γραφῶν οὐκ ἔστιν εὑρεῖν· θεὸν γὰρ ἐν ἀνθρωπίνωι σώματι γεγονέναι λέγουσιν.
ἀλλὰ γὰρ καὶ οἱ πατέρες οἱ ἐν Νικαίαι συνελθόντες οὐ τὸ σῶμα, ἀλλὰ τὸν υἱὸν εἰρήκασιν ὁμοούσιον
τῶι πατρί, τὸ δὲ σῶμα ἐκ Μαρίας ὡμολόγησαν εἶναι πάλιν κατὰ τὰς γραφάς.

l. c. p. 7, 14–19 Καὶ μεθ' ἕτερα· εἰ δὲ ὁμοούσιος ὁ λόγος τῶι σώματι ἐκ γῆς ἔχοντι τὴν φύσιν, ὁμοούσιος δὲ **97**
ὁ λόγος τῶι πατρὶ κατὰ τὴν τῶν πατέρων ὁμολογίαν, ὁμοούσιος ἔσται καὶ αὐτὸς ὁ πατὴρ τῶι
σώματι τῶι ἐκ γῆς γενομένωι. καὶ τί ἔτι μέμφονται τοῖς 'Αρειανοῖς λέγουσι τὸν υἱὸν κτίσμα,
λέγοντες αὐτοὶ καὶ τὸν πατέρα ὁμοούσιον τοῖς κτίσμασιν;

Καὶ ὁ ἐν ἁγίοις δὲ Κύριλλος ἐν τῆι πρὸς 'Ακάκιον ἐπιστολῆι λέγει τάδε **98**

Act. Conc. I 1, 4 p. 25, 11–13 Πῶς γὰρ ἂν νοοῖτο πρὸς ἡμᾶς ὁμοούσιος εἶναι κατὰ τὴν ἀνθρωπότητα καίτοι γεννηθεὶς ἐκ
πατρὸς κατά γε φημὶ τὴν θεότητα, εἰ μὴ νοοῖτο καὶ λέγοιτο θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτός;

Καὶ ἐν τῶι δωδεκάτωι λόγωι τοῦ Θησαυροῦ ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος λέγει τάδε **99**
Εἰ ἣν ἔλαβεν μορφὴν ὁ ἐν μορφῆι θεοῦ ὑπάρχων, ὁμοούσιος ἡμῖν, ὅτι ἐξ ἡμῶν, ἔστιν δὲ μορφὴ
θεοῦ ὁ υἱός, ὁμοούσιος ἄρα ἐκείνωι, οὗ ἐστι μορφή.

Καὶ ταῦτα μὲν ὥστε ἀποδεῖξαι Διόσκορον ἐναντία τῆι θείαι γραφῆι καὶ τοῖς ἁγίοις εἰρηκότα **100**
1128 πατράσιν, 'Αθανασίωι φαμὲν καὶ Κυρίλλωι· ὁμοίως δὲ δείξωμεν καὶ Τιμόθεον τὸν Αἴλουρον
σύμφωνα μὲν Μανιχαίωι, ἐναντία δὲ τοῖς αὐτοῖς ἁγίοις πατράσιν 'Αθανασίωι καὶ Κυρίλλωι
φρονήσαντα. λέγει γὰρ ὁ αὐτὸς Τιμόθεος ἐν τῶι ὀγδόωι κεφαλαίωι τοῦ τρίτου βιβλίου, ὅπερ
ἐν Χερσῶνι συνέγραψε, τάδε

11–14 habentur apud Eustathium monachum PG 86, 933 34 locum in Thesauro non inueni C

39 μανιχαίων C

101 Φύσις δὲ Χριστοῦ μόνη θεότης, εἰ καὶ σεσάρκωται.

102 Τὰ αὐτὰ δὲ Μανιχαῖος γράφων ἐν τῇι πρὸς Κούνδαρον ἐπιστολῇι λέγει τάδε· μία φύσις τὸ ὅλον, εἰ καὶ σαρκὸς ὡρᾶτο μορφή.

103 Πρὸς δὲ ταῦτα λέγομεν ὅτι εἰ κατὰ τὴν ἄνοιαν Τιμοθέου φύσις Χριστοῦ μόνη θεότης, Χριστὸς *4*
ἄρα καὶ ὁ πατὴρ καὶ τὸ ἅγιον πνεῦμα· μία γὰρ θεότητος φύσις, πατρὸς φαμὲν καὶ υἱοῦ καὶ ἁγίου 1129
πνεύματος. ἔσται δὲ καὶ τὸ πάθος κοινὸν κατὰ τὴν ἐκείνου μανίαν. πλὴν καὶ ὁ ἐν ἁγίοις
Ἀθανάσιος ἐν τοῖς κατὰ Ἀπολιναρίου γράφει, δι' ὧν ἡ βλασφημία Τιμοθέου ἐλέγχεται. λέγει
γάρ

104 Χριστὸς μονοτρόπως οὐ λέγεται, ἀλλ' ἐν αὐτῶι τῶι ὀνόματι ἑνὶ ὄντι ἑκατέρων πραγμάτων
δείκνυται σημασίαι θεότητος καὶ ἀνθρωπότητος. *10*

105 Καὶ ὁ ἐν ἁγίοις δὲ Κύριλλος τὰ ὅμοια τοῦ ἐν ἁγίοις Ἀθανασίου λέγει εἰς τὸ ῥητόν, ἐν ὧι φησιν
ὁμοούσιον εἶναι τῶι πατρὶ τὸν υἱὸν διδάσκων οὕτως

Τί γὰρ ποιήσει λέγοντος τοῦ Χριστοῦ νῦν ἡ ψυχή μου τετάρακται καὶ περίλυπός ἐστιν; Ioh. 12, 27
λύπην ἄρα καὶ θόρυβον δώσει περὶ τὴν τοῦ θεοῦ φύσιν γενέσθαι καὶ κρατεῖν θανάτου φόβον; τί Mt. 26, 38
δὲ ὅταν σταυρούμενον ἴδηι; καὶ τοῦτο πάσχειν τοῦ Χριστοῦ τὴν θεότητα δώσει οὕτως ὡς ἄνθρω- *15*
πον ἢ τὸ δύσφημον παραιτήσεται; οὐκοῦν ἑκατέρωι καιρῶι καὶ πράγματι σωιζέσθω τὸ πρέπον.

106 Καὶ πάλιν Τιμόθεος ὁ βλάσφημος ὡς οὐκ ἀρκούμενος ταῖς προτέραις αὐτοῦ ματαιολογίαις ἐν 1129
τῶι δευτέρωι τῶν ἀντιρρητικῶν αὐτοῦ λόγων σαφέστερον τὴν ἑαυτοῦ νόσον ἐκκαλύπτει· λέγει
γὰρ οὕτως

Οὐ γὰρ φύσεως ἔχει λόγον ἡ τοῦ θεοῦ λόγου σάρκωσις, ἀλλ' οἰκονομίας ὑπὲρ φύσιν πραττο- *20*
μένης ὑπὸ θεοῦ ἐκ μὲν τῆς κοινῆς καὶ ἀνθρωπίνης ἡμῶν φύσεως ἤτοι οὐσίας, δι' ὃ καὶ ὁμοφυὴς
καὶ ὁμογενὴς καὶ ὁμοούσιος ἡμῖν λέγεται κατὰ τὸν τῆς οἰκονομίας λόγον ἤτοι τὴν ἐκ γυναικὸς
γέννησιν· οὔτε δὲ φύσις οὔτε οὐσία κοινοῦ τινος ἀνθρώπου προσηγόρευται πώποτε τὸ ἄχραντον
καὶ ὁμογενὲς ἡμῖν σῶμα τοῦ θεοῦ λόγου.

107 Διὰ τῶν εἰρημένων τοίνυν φανερὸν καθέστηκεν ὅτι τὴν τοῦ θεοῦ λόγου σάρκωσιν φύσεως ἔχειν *25*
ἀπαρνεῖται λόγον Τιμόθεος. εἰ δὲ φύσεως λόγον οὐκ ἔχει, κατὰ φαντασίαν μόνην φανῆναι
ταύτην λέγει· φησὶ γὰρ ἐκ μὲν τῆς κοινῆς καὶ ἀνθρωπίνης ἡμῶν φύσεως ἤτοι οὐσίας τὸν θεὸν
λόγον γεγενῆσθαι, τουτέστιν ἐκ γυναικός, καὶ κατὰ τοῦτο μόνον καὶ ὁμοφυᾶ καὶ ὁμογενῆ καὶ
ὁμοούσιον ἡμῖν λέγεσθαι καθ' ὃ ἐκ γυναικὸς ἀπετέχθη. ὁμοούσιον ἡμῖν, οὐ μὴν αὐτὸν
τὸν κύριον κατὰ φύσιν ἤτοι οὐσίαν κοινὸν ἔχειν τι πρὸς ἀνθρώπους λέγει· ἐπάγει γὰρ ὅτι οὔτε *30*
φύσις οὔτε οὐσία κοινοῦ τινος ἀνθρώπου προσηγόρευται πώποτε τὸ ἄχραντον καὶ ὁμογενὲς ἡμῖν
σῶμα τοῦ θεοῦ λόγου. ἀρνούμενος δὲ τῆι ἡμετέραι φύσει κοινωνεῖν τὸ τοῦ κυρίου σῶμα
πρόδηλός ἐστι πρὸς ἀπάτην [καὶ] μόνην τῆι τοῦ ὁμογενοῦς λέξει κεχρημένος καὶ μηδὲν ἕτερον
διὰ ταύτης νοῶν εἰ μὴ ὅτι ὡς ἄνθρωπος κατὰ φαντασίαν γεγέννηται καὶ δοκήσει οὐ φύσει ἐφάνη
ἄνθρωπος. εἰ δὲ ταῦτα οὕτως ἔχει κατὰ τὴν Τιμοθέου μανίαν, σαφὲς καθέστηκεν ὅτι καὶ *35*
τὸ πάθος καὶ τὸν σταυρὸν καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν τοῦ κυρίου κατὰ φαντασίαν
φησὶν γεγενῆσθαι, ὅπερ καὶ Μανιχαῖος λέγει, ὡς ἔστιν εὑρεῖν ἐκ τῶν γραφέντων παρὰ τοῦ ἐν
ἁγίοις Ἀθανασίου κατὰ τῶν τὰ ὅμοια Τιμοθέωι φρονούντων· λέγει γὰρ ὁ ἐν ἁγίοις Ἀθανάσιος
ἐν τῇι πρὸς Ἐπίκτητον ἐπιστολῇι οὕτως

---

6 πλὴν καὶ — 16 τὸ πρέπον om. Mai 9/10 in editis non inuenio 13–16 de quali Cyrilli siue sermone siue libro haec sumpta sint, nescio 37 ὡς ἔστιν — p. 26, 7 ἐσμέν om. Mai C

10 scripserim δείκνυνται 33 καὶ deleui ὁμογενοῦς scripsi μονογενοῦς C

7 p. 11, 8–16 Ludw. Εἰ γὰρ θέσει ἦν ἐν τῶι σώματι κατ' ἐκείνους ὁ λόγος, τὸ δὲ θέσει λεγόμενον φαντασία ἐστίν, **108**
εὑρίσκεται δοκήσει καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώπων λεγομένη κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. ἀλλὰ μὴν οὐ φαντασία ἡ σωτηρία ἡμῶν, οὐδὲ σώματος μόνου, ἀλλ' ὅλου ἀνθρώπου, ψυχῆς καὶ σώματος, ἀληθῶς ἡ σωτηρία ἐν αὐτῶι γέγονεν. ἀνθρώπινον ἄρα φύσει
5 τὸ ἐκ Μαρίας κατὰ τὴς θείας γραφὰς καὶ ἀληθινὸν ἦν τὸ σῶμα τοῦ σωτῆρος· ἀληθινὸν δὲ ἦν, ἐπειδὴ ταὐτὸν ἦν τῶι ἡμετέρωι. ἀδελφὴ γὰρ ἡμῶν ἡ Μαρία, ἐπεὶ καὶ οἱ πάντες ἐκ τοῦ Ἀδὰμ ἐσμέν.

1129 Καὶ πάλιν Τιμόθεος ταῖς ἑαυτοῦ βλασφημίαις προσεπιτιθεὶς τὰ χείρονα καὶ ἐν τῶι τετάρτωι **109**
αὐτοῦ κεφαλαίωι τοῦ εἰρημένου τρίτου βιβλίου λέγει τάδε

10 Δείξωσιν ἡμῖν Διφυσῖται τῶν δύο φύσεων τοῦ Χριστοῦ τὴν διαφοράν, ὡς αὐτοὶ λέγουσιν, εἰ δύνανται.

Ἰδοὺ σαφῶς ἀρνεῖται τὴν διαφορὰν τῶν ἐν Χριστῶι δύο φύσεων, καὶ ἐν τούτωι δὲ ὁμοίως **110**
ἐναντιοῦται πᾶσι τοῖς τε ἄλλοις ἁγίοις πατράσι καὶ μάλιστα Ἀθανασίωι καὶ Κυρίλλωι. λέγει
14 γὰρ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῆι πρὸς Νεστόριον δευτέραι ἐπιστολῆι

Act. Conc. I 1, 1 p. 27, 1–3 Διάφοροι μὲν αἱ πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεχθεῖσαι φύσεις, εἷς δὲ ἐξ ἀμφοῖν υἱὸς καὶ **111**
κύριος, οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνηιρημένης διὰ τὴν ἕνωσιν.

Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τῶι τρισκαιδεκάτωι κεφαλαίωι τῶν Σχολίων αὐτοῦ **112**

Act. Conc. I 5 p. 222, 32. 33 Ἕνα καὶ τὸν αὐτὸν Ἰησοῦν Χριστὸν εἶναι φαμὲν τὴν τῶν φύσεων εἰδότες διαφορὰν καὶ ἀσυγχύτους ἀλλήλαις τηροῦντες αὐτάς.

20 Τί ἄρα πρὸς ταῦτα οἱ Τιμοθέωι ἀκολουθοῦντες εἴποιεν τοῦ ἐν ἁγίοις Κυρίλλου μὴ μόνον τὴν **113**
τῶν φύσεων ὁμολογοῦντος διαφοράν, ἀλλὰ καὶ ἀσυγχύτους ταύτας τηρεῖν ἐν Χριστῶι διδάσκοντος;

1129 Καὶ πάλιν Τιμόθεος ὁ αἱρετικὸς μείζονας ἐπινοῶν ἑαυτῶι βλασφημίας προβάλλεται προφητι- **114**
κὴν ῥῆσιν λέγουσαν οὕτως

Amos 4, 13 Ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ καὶ κύριος ὁ θεὸς παντοκράτωρ ὄνομα αὐτῶι.

25 Εἶτα κακῶς ταύτας ἐξηγούμενος ἐπάγει **115**

Amos 8, 9 Αὐτὸς οὖν δι' ἑαυτοῦ ἀπήγγειλεν τοῖς ἀνθρώποις· τοῦτον ἰδὼν ὁ ἥλιος ἔδυ μεσημβρίαι. ἀλλ' οὐκ ἐδέχετο τοῦτο δι' ἀνθρώπου γενέσθαι ἤτοι διὰ φύσεως ἀνθρωπίνης· ἦ γὰρ ἂν πάντηι τε καὶ παντελῶς ἔλυεν τὴν παρθενίαν ἡ ἀνθρώπου φύσις. εἰ γὰρ ἦν ἄνθρωπος κατὰ φύσιν καὶ νόμον
29 ὁ μέλλων ἀποτελεῖσθαι ἄνθρωπος ἐν μήτραι τῆς παρθένου, οὐκ ἂν ἐτέχθη ἐξ αὐτῆς, εἰ μὴ πρῶ-
1132 τον τῆς παρθενίας διαλυθείσης.

Ἀλλὰ ταῦτα κατὰ τῆς Τιμοθέου τραπείη κεφαλῆς καὶ τῶν ἀκολουθούντων αὐτῶι· βλασφημεῖ **116**
γὰρ τῆι τε θείαι γραφῆι καὶ τοῖς ἁγίοις πατράσιν ἐναντιούμενος, οὐκ αἰσθόμενος ὅτι ἐν τούτωι μάλιστα τὸ θαῦμα τοῦ τῆς εὐσεβείας ἐστὶν μυστηρίου, ὅτι ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ θεὸς ὢν φύσει καὶ σαρκωθεὶς ἐν τῆι μήτραι τῆς παρθένου καὶ γενόμενος κατὰ φύσιν ἄνθρωπος
35 ἐτέχθη ἐξ αὐτῆς καὶ τὴν μητέρα παρθένον ἐφύλαξεν. ὅτι δὲ ταῦτα οὕτως ἔχει. καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῶι περὶ ἐνανθρωπήσεως λόγωι γράφει τάδε

de incarn. 20 [PG 25, 132] Τὸ μὲν οὖν σῶμα καὶ αὐτὸ κοινὴν ἔχον τοῖς πᾶσι τὴν φύσιν (σῶμα γὰρ ἦν ἀνθρώπινον), εἰ καὶ **117**
καινοτέρωι τῶι θαύματι συνέστη ἐκ παρθένου μόνης, ὅμως θνητὸν ὂν κατ' ἀκολουθίαν τῶν ὁμοίων ἀπέθνησκεν· τῆι δὲ τοῦ λόγου εἰς αὐτὸ ἐπιβάσει οὐκέτι καὶ τὴν ἰδίαν φύσιν ἐφθείρετο.

40 Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Ἀθανάσιος ἐν τῆι πρὸς Ἐπίκτητον ἐπιστολῆι λέγει τάδε **118**

---

13 λέγει — 21 διδάσκοντος om. Mai C

35 ὅτι δὲ ταῦτα — p. 27, 15 φύσει τεχθέν om. Mai C

10 δείξουσιν C

Εἰ γὰρ ὁμοούσιος ὁ λόγος τῶι σώματι, περιττὴ τῆς Μαρίας ἡ μνήμη, καὶ τίς χρεία, δυναμένου τοῦ σώματος καὶ πρὸ τῆς Μαρίας εἶναι ἀιδίως, ὥσπερ οὖν ἐστι καὶ αὐτὸς ὁ λόγος, εἴγε καθ' ὑμᾶς ὁμοούσιός ἐστι τῶι σώματι; τίς δὲ καὶ ἡ χρεία τῆς ἐπιδημίας τοῦ λόγου, ἵνα ἢ τὸ ἑαυτοῦ ὁμοούσιον ἐνδύσηται ἢ τραπεὶς ἀπὸ τῆς ἰδίας φύσεως σῶμα γένηται; οὐ γὰρ ἑαυτῆς ἡ θεότης ἐπιλαμβάνεται, ἵνα καὶ τὸ ὁμοούσιον ἑαυτῆς ἐνδύσηται, ἀλλ' οὐδὲ ἥμαρτεν ὁ τὰς ἄλλων ἁμαρτίας λυτρούμενος λόγος, ἵνα τραπεὶς εἰς σῶμα ἑαυτὸν ὑπὲρ ἑαυτοῦ θυσίαν προσενέγκηι καὶ ἑαυτὸν λυτρώσηται. ἀλλ' οὐκ ἔστιν οὕτως, μὴ γένοιτο· σπέρματος γὰρ Ἀβραὰμ ἐπιλαμβάνεται, ὡς εἶπεν ὁ ἀπόστολος. ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι καὶ λαβεῖν ὅμοιον ἡμῖν σῶμα. διὰ τοῦτο οὖν καὶ ὑπόκειται ἀληθῶς ἡ Μαρία, ἵνα ἐξ αὐτῆς τοῦτο λάβηι καὶ ὡς ἴδιον ὑπὲρ ἡμῶν αὐτὸ προσενέγκηι. 4. 5 p. 8, 8–21 Ludw. Hebr. 2, 16

119 Καὶ μεθ' ἕτερα· καὶ ὁ Γαβριὴλ δὲ ἀσφαλῶς εὐηγγελίζετο αὐτὴν λέγων οὐχ ἁπλῶς τὸ γεννώμενον ἐν σοί, ἵνα μὴ ἔξωθεν ἐπεισαγόμενον αὐτῆι σῶμα νομισθῆι, ἀλλ' ἐκ σοῦ, ἵνα φύσει τὸ γεννώμενον ἐξ αὐτῆς εἶναι πιστευθῆι, φανερῶς καὶ τοῦτο τῆς φύσεως δεικνυούσης ὡς ἀδύνατον παρθένον φέρειν γάλα μὴ τεκοῦσαν καὶ ἀδύνατον γάλακτι τραφῆναι σῶμα καὶ σπαργανωθῆναι μὴ πρότερον φύσει τεχθέν. 5 p. 9, 7–12 Lc. 1, 35

120 Καὶ ὁ ἐν ἁγίοις δὲ Κύριλλος ἐν τῶι λόγωι τῶι ὅτι χρὴ θεοτόκον ὁμολογεῖν τὴν παρθένον, λέγει τάδε 1132

Κύριον καὶ θεὸν ἐπιγινώσκομεν τὸν Χριστόν· γέγονε μὲν γὰρ ἄνθρωπος δι' ἡμᾶς ὁ τοῦ θεοῦ λόγος μετασχὼν τῆς ἀνθρωπείας φύσεως καὶ γεγέννηται διὰ φιλανθρωπίαν ἄφατον μετὰ ταύτης ἐκ τῆς ἁγίας καὶ ἀπειρογάμου παρθένου. διὰ τοῦτο τοίνυν καλεῖται καὶ ἄνθρωπος, καλεῖται δὲ καὶ θεός, εἷς καὶ ὁ αὐτὸς ὑπάρχων ἐν ἑκατέραι προσηγορίαι Χριστός. Act. Conc. I 1, 7 p. 24, 34–38

121 Ταῦτα τοίνυν ἡμεῖς ἔκ τε τῶν θείων γραφῶν καὶ τῶν ἁγίων παρεθέμεθα πατέρων πρὸς ἔλεγχον τῶν αἱρετικῶν, ἐφ' ὧι γινώσκειν ἅπαντας τοὺς Χριστιανοὺς ὡς Διόσκορος καὶ Τιμόθεος ὁ Αἴλουρος οἱ αἱρετικοὶ καθαρῶς τὰ Μανιχαίου καὶ Ἀπολιναρίου φρονοῦντες ἀποδείκνυνται. ὅτι δὲ πάλιν οἱ μίαν λέγοντες θεότητος καὶ ἀνθρωπότητος τοῦ Χριστοῦ φύσιν ἀρνοῦνται μὲν ὁμοούσιον ἡμῖν εἶναι τὴν σάρκα τοῦ κυρίου, ὁμοούσιον δὲ αὐτὴν εἰσάγουσι τῆι τοῦ λόγου θεότητι, ὅπερ ἀπείρηται τῆι τε θείαι γραφῆι καὶ τοῖς ἁγίοις πατράσιν, ἄκουε τοῦ ἐν ἁγίοις Ἀθανασίου ἐν τῆι πρὸς Ἐπίκτητον ἐπιστολῆι λέγοντος τάδε 2 p. 4, 8–11

122 Τίς ἤκουσεν τοιαῦτα ποτέ; τίς δὲ ὁ διδάξας ἢ μαθών; ἐκ μὲν γὰρ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ· ταῦτα δὲ πόθεν ἐξῆλθεν; ποῖος ἄιδης ἠρεύξατο ὁμοούσιον εἰπεῖν τὸ ἐκ Μαρίας σῶμα τῆι τοῦ λόγου θεότητι; Ies. 2, 3

123 Καὶ ὁ ἐν ἁγίοις Ἀμβρόσιος ἐν τῶι περὶ τῆς θείας ἐνανθρωπήσεως λόγωι γράφει τάδε

Ἀνεφύησαν τινές τὴν σάρκα τοῦ κυρίου καὶ τὴν θεότητα μιᾶς εἶναι φύσεως λέγοντες. ποῖος ἄιδης τὴν τοιαύτην βλασφημίαν ἐξήμεσεν; Ἀρειανοὶ γὰρ ἤδη τυγχάνουσιν φορητότεροι, οἷς ἐκ τούτων αὔξεται τῆς ἀπιστίας τὸ στέλεχος, ὡς φιλονεικότερον διαβεβαιουμένους λέγειν αὐτοὺς τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον μιᾶς οὐσίας μὴ εἶναι, ἐπειδὴ οὗτοι τὴν θεότητα τοῦ κυρίου καὶ τὴν σάρκα μιᾶς ὑπάρχειν οὐσίας εἰπεῖν ἐπειράθησαν. de incarn. 6 [PL 16, 831]

124 Ἰδοὺ διὰ τῶν παρατεθειμένων ἡμῖν ἐκ τῶν ἁγίων πατέρων ἀποδέδεικται ὡς ἀλλότριοί εἰσι τοῦ Χριστιανισμοῦ οἱ μίαν λέγοντες τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ φύσιν πανταχοῦ τῆς τε θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων ὥσπερ δύο γεννήσεις ἑνὸς καὶ τοῦ αὐτοῦ

---

24 ὅτι δὲ πάλιν — p. 28, 22 αἰῶνας. ἀμήν om. Mai 33–37 eadem uersio habetur Doctr. 2 X C

11/12 γενόμενον C

μονογενοῦς υἱοῦ τοῦ θεοῦ, κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, οὕτω δὴ καὶ δύο φύσεις ἡμῖν ὁμολογεῖν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος αὐτοῦ παραδιδόντων. αὐτίκα γοῦν τοῦ κυρίου λέγοντος ἀκούσωμεν· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; καὶ φησὶ πρὸς αὐτὸν ὁ Πέτρος· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ὁ δὲ ἐν ἁγίοις Γρηγόριος ὁ τῆς Νυσαέων ἐπίσκοπος τὰ περὶ τῆς τοιαύτης φωνῆς ἑρμηνεύων λέγει τάδε ἐν τῶι πρώτωι λόγωι τῶι κατ' Εὐνομίου

Mt. 16, 13. 16

Τοῦ υἱοῦ τὸ ὄνομα ἴσην κατ' ἄμφω τὴν τῶν φύσεων κοινωνίαν ἐνδείκνυται. ὡς γὰρ υἱὸς ἀνθρώπου λέγεται διὰ τὴν τῆς σαρκὸς αὐτοῦ πρὸς τὴν ἐξ ἧς ἐγεννήθη συγγένειαν, οὕτως καὶ τοῦ θεοῦ πάντως υἱὸς νοεῖται διὰ τὴν τῆς οὐσίας αὐτοῦ πρὸς τὴν ἐκ πατρὸς συνάφειαν. καὶ ἐν ἑτέροις πάλιν ὁ κύριος λέγει ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν καὶ πάλιν ὁ πατήρ μου μείζων μού ἐστιν. Καὶ ταῦτα μὲν ὁ πατήρ· ὅτι δὲ περὶ μίαν καὶ τὴν αὐτὴν οὐσίαν τὸ πρὸς τὸν θεὸν καὶ πνεῦμα ἴσον καὶ πάλιν τὸ ἔλαττον ὑπάρχειν οὐ δύναται ποιεῖν, τοῖς εὖ φρονοῦσίν ἐστι κατάδηλον. τὸ μὲν γὰρ ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν τὴν ταυτότητα τῆς οὐσίας ἣν ἔχει πρὸς τὸν πατέρα, σημαίνει· τὸ δὲ μείζων μού ἐστιν τὴν ἐλάττωσιν ἧς ἔλαβεν ἀνθρωπίνης δείκνυσι φύσεως. ὅθεν ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῶι κατὰ Ἀρειανῶν τετάρτωι λόγωι τὰ περὶ τούτου σαφῶς ἡμᾶς ἐκδιδάσκει λέγων οὕτως

Ioh. 10, 30 — c. Arian. 3, 56 [PG 26, 440]

Ἔδει δὲ ἀκούοντας μὲν αὐτοὺς ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμέν μίαν ὁρᾶν τὴν θεότητα καὶ τὸ ἴδιον τῆς οὐσίας τοῦ πατρός· ἀκούοντας δὲ τὸ ἔκλαυσεν καὶ τὰ ὅμοια ταῦτα τοῦ σώματος ἴδια λέγειν, μάλιστα ὅτι ἐν ἑκατέρωι τούτων ἔχουσι τὴν ἀφορμὴν εὔλογον ὅτι τὸ μὲν ὡς περὶ θεοῦ γέγραπται, τὸ δὲ διὰ τὸ ἀνθρώπινον αὐτοῦ σῶμα λέγεται.

Ioh. 10, 30 — Ioh. 11, 35

Καὶ πάλιν ὁ ἀπόστολος· ὧν οἱ πατέρες καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν. ἄκουε δὲ τοῦ ἐν ἁγίοις Κυρίλλου πῶς τοῦτο σαφῶς ἑρμηνεύει ἐν τῶι λόγωι τῶι ὅτι χρὴ θεοτόκον τὴν ἁγίαν παρθένον ὁμολογεῖν· λέγει γὰρ οὕτως

Rom. 9, 5

Οὐ μὴν ἀλλά γε κἀκεῖνο διασκεψώμεθα ὡς εἰ μὴ θεὸν ἅμα καὶ ἄνθρωπον ἠπίστατο τὸν Χριστὸν ὁ θεῖος ἀπόστολος, οὐκ ἂν ἔλεγεν τὸ κατὰ σάρκα· τοῦτο γὰρ φανερῶς ἐπὶ τοῦ μὴ μόνον ἀνθρώπου, ἀλλὰ καὶ καθ' ἕτερόν τι τὴν οὐσίαν ὄντος λέγεται, ὥσπερ οὖν καὶ ἐπήγαγεν ὁ ὢν ἐπὶ πάντων θεός· διπλῆν γὰρ τὴν περὶ τοῦ σωτῆρος ἡμῖν ὁμολογίαν παραδέδωκεν, καὶ τὸ κατὰ σάρκα ἐπιδείξας καὶ θεὸν ἀνακηρύξας.

Act. Conc. I 1, 7 p. 25, 6–10

Καὶ πάλιν ὁ ἀπόστολος ἐν τῆι πρὸς Τιμόθεον· εἷς θεὸς καὶ εἷς μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων. ὁ δὲ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσης ἑρμηνεύων ταῦτα λέγει τάδε

1 Tim. 2, 5. 6

Τὸ μεσίτην θεοῦ καὶ ἀνθρώπων, καθὼς ὠνόμασεν ὁ μέγας ἀπόστολος, οὐδὲν οὕτως ὡς τὸ τοῦ υἱοῦ δείκνυσιν ὄνομα ἑκατέραι φύσει τῆι θείαι τε καὶ ἀνθρωπίνηι κατὰ τὸ ἴσον ἐφαρμοζόμενον. ὁ γὰρ αὐτὸς καὶ θεοῦ υἱός ἐστι καὶ υἱὸς ἀνθρώπου κατ' οἰκονομίαν ἐγένετο, ἵνα τῆι πρὸς ἑκάτερον κοινωνίαι δι' ἑαυτοῦ συνάψηι τὰ διεστῶτα τῆι φύσει.

c. Eunom. III 1, 92 p. 31, 30–32, 6

Καὶ πάλιν ὁ κύριος ἐν τοῖς εὐαγγελίοις· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. εἶπον οὖν οἱ Ἰουδαῖοι· τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; ἐκεῖνος δὲ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. εἶτα τὸ τοιοῦτο ῥητὸν ἑρμηνεύων ὁ ἐν ἁγίοις Ἀμβρόσιος λέγει τάδε

Ioh. 2, 19–21

---

31 ὁ δὲ ἐν ἁγίοις — 40 ῥητὸν ἑρμηνεύων om. Mai C

11 Καὶ — πατήρ siue delenda siue post 9 τὴν συνάφειαν collocanda

134 Οὐκ ἀρχὴν ὁ θεὸς λόγος ἐκ τῆς παρθένου εἰληφώς, ἀλλὰ συναίδιος τῶι ἑαυτοῦ πατρὶ ὑπάρχων τὴν τῆς φύσεως τῆς ἡμετέρας ἀπαρχὴν ἑαυτῶι διὰ πολλὴν ἀγαθότητα ἑνῶσαι κατηξίωσεν, οὐ κραθείς, ἀλλ' ἐν ἑκατέραις ταῖς οὐσίαις εἷς καὶ ὁ αὐτὸς φανείς κατὰ τὸ γεγραμμένον λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. λύεται γὰρ Χριστὸς Ἰησοῦς κατὰ τὴν ἐμὴν οὐσίαν ἣν ἔλαβεν, καὶ λελυμένον ἐγείρει τὸν ἴδιον ναὸν ὁ αὐτὸς κατὰ τὴν θείαν αὐτοῦ οὐσίαν καθ' ἣν καὶ πάντων ὑπάρχει δημιουργός. Ioh. 2, 19

135 Καὶ πάλιν ὁ κύριος ἐν τῶι κατὰ Ἰωάννην εὐαγγελίωι λέγει· ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, θεόν μου καὶ θεὸν ὑμῶν. ἄκουε τοῦ θεολόγου Γρηγορίου τὸ τοιοῦτο ῥητὸν τοῦ εὐαγγελίου σαφηνίζοντος· γράφει γὰρ ἐν τῶι δευτέρωι περὶ τοῦ θεοῦ λόγου τάδε Ioh. 20, 17

136 Θεὸς δὲ λέγοιτ' ἂν οὐ τοῦ λόγου, τοῦ ὁρωμένου δέ. πῶς γὰρ ἂν εἴη τοῦ κυρίως θεοῦ θεός; ὥσπερ καὶ πατὴρ οὐ τοῦ ὁρωμένου, τοῦ λόγου δέ. καὶ γὰρ ἦν διπλοῦς, ὥστε τὸ μὲν κυρίως ἐπ' ἀμφοῖν, τὸ δὲ οὐ κυρίως. ἐναντίως ἢ ἐφ' ἡμῶν ἔχει· ἡμῶν γὰρ κυρίως μὲν θεός, οὐ κυρίως δὲ πατήρ. καὶ τοῦτό ἐστιν ὃ ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις ἐπαλλαττομένων τῶν ὀνομάτων διὰ τὴν σύγκρασιν. σημεῖον δέ· ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα. Παύλου λέγοντος ἄκουσον ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης· Χριστοῦ μὲν θεός, τῆς δὲ δόξης πατήρ. εἰ γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῆι φύσει, τῆι δὲ συνόδωι. τούτων τί ἂν γένοιτο γνωριμώτερον; or. 30 PG 36, 113 Eph. 1, 17

137 Καὶ ἐν τῶι κατὰ Ματθαῖον ὁ κύριος λέγει πρὸς τὸν παραδιδόντα αὐτόν· φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; τοῦτο δὲ Πέτρος ὁ μάρτυς καὶ ἀρχιεπίσκοπος Ἀλεξανδρείας ἐξηγούμενος λέγει ταῦτα καὶ τὰ τούτοις ὅμοια Lc. 22, 48

138 Τά τε σημεῖα πάντα ὅσα ἐποίησεν, καὶ αἱ δυνάμεις δείκνυσιν αὐτὸν θεὸν ἐνανθρωπήσαντα. τὰ συναμφότερα τοίνυν δείκνυται, ὅτι θεὸς ἦν φύσει καὶ ἐγένετο ἄνθρωπος φύσει. 1133

139 Λέγει δὲ καὶ Ἰωάννης ὁ εὐαγγελιστής· ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Καὶ τοῦτο δὲ ὁ ἐν ἁγίοις ἑρμηνεύων Κύριλλος λέγει τάδε Ioh. 1, 14

140 Ἐπεξεργάζεται χρησίμως τὸ εἰρημένον ὁ εὐαγγελιστὴς καὶ εἰς ἐμφανεστέραν ἄγει διάνοιαν τὴν τοῦ θεωρήματος δύναμιν. ἐπειδὴ γὰρ ἔφη σάρκα γεγενῆσθαι τὸν τοῦ θεοῦ λόγον, ἵνα μήτις ἐκ πολλῆς ἀμαθίας τῆς μὲν ἰδίας αὐτὸν ὑπολάβοι φύσεως ἐκδραμεῖν, μεταπεποιῆσθαι δὲ ὄντως εἰς σάρκα καὶ παθεῖν, ὅπερ ἦν ἀδύνατον (ἀλλοιώσεως γὰρ ἁπάσης καὶ μεταβολῆς τῆς ἐφ' ἕτερόν τι κατὰ τὸν τοῦ πως εἶναι λόγον τὸ θεῖον ἀπώικισται), καλῶς τε σφόδρα ποιῶν ὁ θεολόγος ἐπήνεγκεν εὐθὺς ὅτι ἐσκήνωσεν ἐν ἡμῖν, ἵνα δύο νοήσας τὰ σημαινόμενα τόν τε σκηνοῦντα καὶ τὸ ἐν ᾧι ἡ σκήνωσις, μὴ εἰς σάρκα παρατετράφθαι νομίσηις αὐτόν, σκηνῶσαι δὲ μᾶλλον ἐν σαρκὶ ὡς ἰδίωι προσχρησάμενον σώματι τῶι ἐκ τῆς ἁγίας παρθένου ναῶι. PG 73, 161

141 Τί δὲ πρὸς τὸν ἀπόστολον λέγουσι σαφῶς ἐν τῆι μιᾶι ὑποστάσει ἤγουν τῶι ἑνὶ προσώπωι τοῦ Χριστοῦ τὰς δύο κηρύττοντα φύσεις ἐν τῶι λέγειν τοῦτο; φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῶι Ἰησοῦ· ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών. δεῖ δὲ προσέχειν τὸν νοῦν ὅτι εἰπὼν ὁ ἀπόστολος, ὃς τὴν ὑπόστασιν τοῦ λόγου ἐσήμανεν ἐν τῆι τοῦ θεοῦ ὑπάρχειν μορφῆι, ὅπερ ἐστὶν ἐν τῆι οὐσίαι τοῦ πατρός, καὶ οὐκ εἶπεν ὅτι τὸν ὑπάρχοντα ἐν μορφῆι δούλου ἔλαβεν, ἵνα μὴ προυποστάντα δείξηι τὸν ἄνθρωπον κατὰ τὴν Νεστορίου μανίαν· ἀλλ' εἶπεν ὅτι μορφὴν δούλου ἔλαβεν, τουτέστιν οὐσίαν ἀνθρώπου, δεικνὺς ὅτι ἐν τῆι ὑποστάσει τοῦ λόγου τὴν ὕπαρξιν Phil. 2, 5–7 1133

1–6 eadem habentur Doctr. 7 XIII [= Theodoret. eran. 2, 140 Sch.] p. 50, 16–24 7 καὶ πάλιν — 18 γνωριμώτερον om. Mai 22/23 = Leontius 16 24 Λέγει δὲ καὶ — 37 δούλου λαβών om. Mai 26–33 cf. Leont. 85

ἔσχεν ἡ σάρξ, ἵνα εἷς καὶ ὁ αὐτὸς ἐν μιᾶι ὑποστάσει ὑπάρχων ἐν ἑκατέραι μορφῆι, τουτέστιν φύσει, γνωρίζηται τῆι θείαι τε καὶ ἀνθρωπίνηι. δῆλον γὰρ ὅτι ὁ θεὸς λόγος γεννηθεὶς πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς οὐ τῆς αὐτῆς ὑποστάσεώς ἐστιν τῶι πατρί, ἀλλὰ τῆς αὐτῆς οὐσίας καθ' ὃ θεός, ἰδίαν δὲ ἔχει τὴν ὑπόστασιν καθ' ὃ λόγος. καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν γεννηθεὶς ὁ αὐτὸς κατὰ σάρκα ἐκ τῆς ἁγίας ἐνδόξου παρθένου καὶ θεοτόκου Μαρίας οὐ τῆς αὐτῆς ὑποστάσεώς ἐστιν τῆι μητρί, ἀλλὰ τῆς αὐτῆς οὐσίας. εἶτα πῶς οἱ Ἀκέφαλοι δύο ὑποστάσεων ἕνωσιν λέγουσι, καίτοι δύο ὑποστάσεων ἕνωσιν τὴν καθ' ὑπόστασιν οὐκ ἐπιδεχομένων; ἢ ἀγνοοῦσιν ὅτι καὶ Νεστόριος διὰ τὴν τοιαύτην πλάνην κατεκρίθη δύο ὑποστάσεις ἐπὶ τῆς οἰκονομίας εἰσάγων; ἀλλὰ τούτων οὕτως ὄντων καὶ Νεστορίου καὶ πάσης μᾶλλον αἱρέσεως βδελυρώτερα δόγματα λέγειν ἀνέχονται οἱ Ἀκέφαλοι ἢ συναινεῖν τῆι ἀληθείαι. καὶ ταῦτα μὲν ἡμεῖς πρὸς αὐτούς· τὸ δ' αὐτὸ τοῦ ἀποστόλου ῥητὸν ἐξηγούμενος καὶ ὁ ἐν ἁγίοις Ἀμβρόσιος ἐν τῶι κατὰ Ἀπολιναρίου λόγωι γράφει τάδε

Κάλλιστα κέχρηται τῆι τῶν αὐτῶν ἐπαναλήψει ῥημάτων ὁ ἀπόστολος λέγων περὶ τοῦ κυρίου **142**

Phil. 2, 6 u. 7 ἡμῶν Ἰησοῦ Χριστοῦ ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών. τί ἐστι μορφὴ θεοῦ, εἰ μὴ ἐν τῶι πληρώματι τῆς θεότητος ἐκεῖνο τὸ τῆς θείας τελειότητος ἐκτύπωμα; οὐκοῦν ἐν τῶι τελείωι τῆς θεότητος ὢν ἐκένωσεν ἑαυτὸν καὶ ἔλαβεν τὸ τέλειον τῆς κατὰ ἄνθρωπον φύσεως ὁλοκλήρου καὶ ὡς οὐδὲν ἔλιπεν τῶι θεῶι, οὕτως οὔτε τῶι καταρτισμῶι τῶι κατὰ τὸν ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέραι φύσει τυγχάνηι.

Καὶ πάλιν ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῶι λόγωι τῶι περὶ τῆς σωτηριώδους ἐπιφανείας λέγει **143** τάδε

c. Apollin. 2, 18 [PG 26, 1164] Διὰ τοῦτο αἱ ἅγιαι γραφαὶ θεὸν ἀφράστως κηρύττουσιν τὸν λόγον καὶ τοῦτον ἐπ' ἐσχάτου ἐκ παρθένου ἄνθρωπον γεννηθέντα, ἵνα μήτε θεὸς ἀπιστηθῆι μήτε σαρκὸς γέννησις ἀρνηθῆι. ὅπου δὲ σαρκὸς ὄνομα, ἐκεῖ πάσης τῆς συστάσεως ἡ ἁρμονία χωρὶς ἁμαρτίας. καὶ ἐπὶ μὲν τοῦ ὀνόματος τοῦ ἀνθρώπου τὸ πάθος ἱστῶσι καὶ οὐχ ὑπερβαίνουσιν, ὡς γέγραπται ἐν πάσαις ταῖς ἁγίαις γραφαῖς· περὶ δὲ τῆς θεότητος τοῦ λόγου τὴν ἀτρεπτότητα καὶ τὴν ἀφραστότητα ὁμολογοῦσι. διὰ τοῦτο θεολογεῖται μὲν <ὁ> λόγος, γενεαλογεῖται δὲ ὁ αὐτὸς ἄνθρωπος, ἵνα πρὸς ἑκάτερα ἦι ὁ αὐτὸς φυσικῶς καὶ ἀληθινῶς.

Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Ἀθανάσιος ἐν τῶι κατὰ Ἀπολιναρίου λόγωι γράφει τάδε **144**

c. Apollin. 1, 11 [PG 26, 1112] Εἰ δὲ πιστεύετε διδασκόμενοι ἀπὸ τῶν θείων γραφῶν ὅτι θεὸς ὢν ὁ λόγος υἱὸς ἀνθρώπου γέγονεν, γνώσεσθε ὅτι εἷς ἐστιν ὁ Χριστὸς καὶ θεὸς καὶ ἄνθρωπος ὁ αὐτός, ἵνα τὸ διπλοῦν κήρυγμα τῆς αὐτοῦ ἐπιδημίας εὐαπόδεικτον ἔχηι τὴν πίστιν τοῦ τε πάθους καὶ τῆς ἀπαθείας.

Καὶ ὁ ἐν ἁγίοις δὲ Κύριλλος ἐν τῆι ἑρμηνείαι τοῦ κατὰ Ματθαῖον εὐαγγελίου λέγει τάδε **145**

Οὐκοῦν ὁ στατὴρ ὁ ἀληθινός τε καὶ νοητὸς καὶ ὡς ἐν τύπωι τῶι ἐξ ὕλης δηλούμενος αὐτός ἐστιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός ὁ διπλοῦς χαρακτήρ.

Καὶ πάλιν ὁ αὐτὸς ἐν τῆι ἑρμηνείαι τῆς πρὸς Ἑβραίους ἐπιστολῆς τόμου δευτέρου λέγει τάδε **146**

Καὶ οὐ δήπου φαμὲν ἀνάχυσιν ὥσπερ τινὰ συμβῆναι περὶ τὰς φύσεις, ὡς μεταστῆναι μὲν τὴν τοῦ λόγου φύσιν εἰς τὴν τοῦ ἀνθρώπου τυχόν, ἀλλ' οὐδ' αὖ τὴν ἀνθρωπίνην εἰς τὴν αὐτοῦ τοῦ λόγου· νοουμένης δὲ μᾶλλον καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῶι τῆς ἰδίας φύσεως ὅρωι πεπρᾶχθαι φαμὲν τὴν ἕνωσιν.

---

20 καὶ πάλιν ὁ ἐν ἁγίοις — 31, 21 ἀποστολικὴ ἐκκλησία om. Mai 34/35 habetur Doctr. 4 VIII C 37–40 ibidem 2 XXXII

27 ὁ om. C

147 Καὶ ἐν τῶι τετάρτωι δὲ βιβλίωι τοῦ ὑπομνήματος τοῦ κατὰ Ἰωάννην εὐαγγελίου ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος λέγει τάδε PG 73, 580

Κἂν τούτωι δὴ μάλιστα θαυμάσαι προσήκει τὸν ἅγιον εὐαγγελιστὴν ὁ λόγος σὰρξ ἐγένετο διαρρήδην ἀνακεκραγότα· οὐ γὰρ ὅτι γέγονεν ἐν σαρκί, ἀλλ' ὅτι γέγονεν σάρξ, οὐκ ἀπενάρκησεν εἰπεῖν, ἵνα δείξηι τὴν ἕνωσιν. καὶ οὐ δήπου φαμὲν ἢ τὸν ἐκ θεοῦ καὶ πατρὸς λόγον εἰς τὴν τῆς σαρκὸς μεταπεποιῆσθαι φύσιν ἤγουν τὴν σάρκα μεταχωρῆσαι πρὸς τὴν τοῦ λόγου φύσιν· μένει γὰρ ἑκάτερον ὅπερ ἐστὶ τῆι φύσει. Ioh. 1, 14

148 Καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ τῆς Νυσαέων ἐπίσκοπος ἐν τῶι τετάρτωι λόγωι τῶι κατ' Εὐνομίου λέγει τάδε

Καὶ ὡς ἂν μήτις τῆι ἀκηράτωι φύσει τὸ εἰς τὸν σταυρὸν πάθος προστρίβοιτο, δι' ἑτέρων τρανώτερον τὴν τοιαύτην ἐπανορθοῦται πλάνην μεσίτην αὐτὸν θεοῦ καὶ ἀνθρώπων καὶ ἄνθρωπον καὶ θεὸν ὀνομάζων, ἵνα ἐκ τοῦ τὰ δύο περὶ τὸ ἓν λέγεσθαι τὸ πρόσφορον νοοῖτο περὶ ἑκάτερον, περὶ μὲν τὸ θεῖον ἡ ἀπάθεια, περὶ δὲ τὸ ἀνθρώπινον ἡ κατὰ τὸ πάθος οἰκονομία. c. Eunom. III 4 p. 131, 24–132, 2 Jaeg.

149 Καὶ ὁ ἐν ἁγίοις δὲ Ἀμβρόσιος ἐν τῶι περὶ θείας ἐνανθρωπήσεως λόγωι διδάσκει ταῦτα

Τοὺς δὲ λέγοντας ψιλὸν ἄνθρωπον τὸν Χριστὸν ἢ παθητὸν τὸν θεὸν ἢ εἰς σάρκα τραπέντα ἢ συνουσιωμένον ἐσχηκέναι τὸ σῶμα ἢ οὐρανόθεν τοῦτο κεκομικέναι ἢ φάντασμα εἶναι ἢ θνητὸν λέγοντας τὸν θεὸν λόγον καὶ δεδεῆσθαι τῆς παρὰ τοῦ πατρὸς ἀναστάσεως ἢ ἄψυχον σῶμα ἢ ἄνουν ἄνθρωπον ἀνειληφέναι ἢ τὰς δύο οὐσίας τοῦ Χριστοῦ κατὰ ἀνάκρασιν συγχυθείσας μίαν γεγενῆσθαι οὐσίαν καὶ μὴ ὁμολογοῦντας τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δύο εἶναι οὐσίας ἀσυγχύτους, ἓν δὲ πρόσωπον καθ' ὃ εἷς Χριστός, εἷς υἱός, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

150 Ἱκανὰ μὲν οὖν ἡγούμεθα πρὸς ἀπόδειξιν τοῦ μίαν μὲν ὑπόστασιν ἤτοι ἓν πρώσωπον εἶναι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν δυσὶ δὲ φύσεσιν αὐτὸν γνωρίζεσθαι, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι, τά τε ἐκ τῆς θείας γραφῆς καὶ τῶν ἁγίων ἡμῖν παρατεθειμένα πατέρων, εἰ καὶ ὀλίγα ἐκ πολλῶν προηγάγομεν, ἵνα μὴ πλῆθος τοῖς γραφομένοις ποιήσωμεν. πλὴν ἐπειδὴ ἔστιν ὅτε καὶ ὑπὸ τῶν ἐχθρῶν ἡ ἀλήθεια φανεροῦται, ὥσπερ οὖν καὶ οἱ δαίμονες τὸν Χριστὸν υἱὸν τοῦ θεοῦ καὶ ἄκοντες ὡμολόγησαν, δείξωμεν καὶ αὐτὸν Σευῆρον τὸν Ἀπολιναρίου διάδοχον καὶ τὴν τῶν Ἀκεφάλων αὐξήσαντα πλάνην ὁμολογοῦντα ὅτι πάντες οἱ ἅγιοι πατέρες δύο φύσεις ἐπὶ τοῦ Χριστοῦ ἀδιαβλήτως εἰρήκασι. λέγει γοῦν ἐν τῶι λόγωι ὃν ἔκθεσιν πίστεως δῆθεν ὀνομάζει, τάδε 1133 1136

151 Τὸ δὲ λέγειν δύο φύσεις ἐπὶ Χριστοῦ πάσης κατηγορίας ἐπίμεστον, εἰ καὶ ὑπὸ πλειόνων τῶν ἁγίων πατέρων ἀμέμπτως εἴρηται.

152 Καὶ μετ' ὀλίγα πάλιν ὁ αὐτὸς Σευῆρος· καὶ μὴ πάλιν εἴπηις ὡς τῆι λέξει τῆι τῶν δύο φύσεων τινὲς τῶν πατέρων ἐχρήσαντο, ἐχρήσαντο γὰρ ἀδιαβλήτως, ὡς προείπομεν, κατὰ δὲ τὸν χρόνον τοῦ ἐν ἁγίοις Κυρίλλου τῆς νόσου τῶν Νεστορίου καινοφωνιῶν τὰς ἐκκλησίας ἐπινεμομένης ἐπὶ πλέον ἡ λέξις ἀπεδοκιμάσθη· καὶ γὰρ διὰ τὰς νόσους τὰ φάρμακα. οὐ δύνανται τοίνυν αἱ τῶν ἄλλων πατέρων φωναὶ τῶν ἀδιαβλήτως χρησαμένων τῆι λέξει κατὰ τοῦ ἁγίου Κυρίλλου προφέρεσθαι πρὸς τὴν ἐνσκήψασαν νόσον τὴν θεραπείαν ἐπινοήσαντος, τὸ πλέον φημί, κἂν αὐτοῦ Κυρίλλου εἶεν φωναὶ πρὸ τούτου λεχθεῖσαι.

15–21 habentur Doctr. 2 XVII cf. 10 I. II [= Theodoret. eran. 2, 141 Sch.] 31 ἐπὶ Χριστοῦ — 39 λεχθεῖσαι om. Mai 31–39 habentur apud Eustathium monachum PG 86 p. 904. 905 C

27 δείξομεν C

1136 Εἶτα τοῖς αὐτοῖς ἐμμένων καὶ διὰ τῶν ἐφεξῆς λέγει μὴ δύνασθαι τὰς τῶν πατέρων φωνὰς **153**
τῶν ἀδιαβλήτως τῇι λέξει χρησαμένων προφέρεσθαι, κἂν αὐτοῦ Κυρίλλου εἶεν πρὸ τούτου λεχθεῖσαι. εἰ τοίνυν πάντας τοὺς ἁγίους πατέρας, ἔτι μὴν καὶ τὸν ἐν ἁγίοις Κύριλλον ἀδιαβλήτως τῇι λέξει χρήσασθαι καὶ αὐτὸς Σευῆρος ὁμολογῆι, τίς ἄρα τοιαύτην ἔσχεν αὐθεντίαν, ὥστε τὴν
5 τῶν ἁγίων πατέρων ἀποδοκιμάσαι διδασκαλίαν; ἢ πῶς πατέρας ὀνομάζει Σευῆρος ὧν ἀποδοκιμασθῆναι λέγει τὰ δόγματα; ἀλλὰ πρόδηλον ἑαυτὸν δείκνυσιν ὡς τὴν ἀλήθειαν ἀποφυγεῖν μὴ δυνάμενος ὡμολόγησε μὲν τὴν τοιαύτην φωνὴν παρὰ τῶν ἁγίων πατέρων εἰρῆσθαι, βουληθεὶς δὲ τῇι οἰκείαι νόσωι συνηγορεῖν λέγει διὰ τὰς Νεστορίου βλασφημίας ἀποδοκιμασθῆναι τὰς τῶν ἁγίων πατέρων διδασκαλίας, ἐφ' ὧι καὶ γελᾶν ἄξιον. διὰ δὲ τούτων τούς τε ἁγίους πατέρας
10 ἀθετεῖν ἐπεχείρησεν καὶ τὸν ἐν ἁγίοις Κύριλλον συκοφαντεῖν οὐκ ἀπώκνησεν ὡς καὶ τοῖς πρώην παρ' αὐτοῦ εἰρημένοις καὶ τοῖς ἁγίοις πατράσιν ἐναντιούμενον. πλὴν ἐπειδὴ ἐκεῖνος μέχρι τῶν Νεστορίου χρόνων λέγει τοὺς ἁγίους πατέρας ἀδιαβλήτως τῇι τοιαύτηι χρήσασθαι φωνῆι, ἡμεῖς δείξομεν ὅτι ὁ ἐν ἁγίοις Κύριλλος τῇι τῶν δύο φύσεων φωνῆι ἐπὶ τῆς οἰκονομίας τοῦ σωτῆρος χρησάμενος κατέκρινεν Νεστόριον καὶ πάλιν μετὰ τὴν Νεστορίου κατάκρισιν ὁ αὐτὸς ἐν ἁγίοις
15 Κύριλλος τῇι ὁμοίαι ἐχρήσατο διδασκαλίαι. ἔοικε γὰρ Σευῆρος μήτε τοὺς ἁγίους νοήσας πατέρας μήτε τὴν αἰτίαν ἐφ' ἣι κατεκρίθη Νεστόριος· οἱ γὰρ ἅγιοι πατέρες τῆς θεότητος τοῦ Χριστοῦ καὶ τῆς ἀνθρωπότητος δύο φύσεις ἡνωμένας ὁμολογοῦντες ἀπηγόρευσαν δύο ὑποστάσεις ἢ δύο πρόσωπα ἢ δύο υἱοὺς ἐπ' αὐτοῦ λέγειν. Νεστορίου γὰρ φύσιν καὶ ὑπόστασιν καὶ πρόσωπον ταυτὸν εἶναι ὁμολογοῦντος καὶ διὰ τοῦτο τῶν δύο φύσεων τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀρνου-
20 μένου καὶ ἀνὰ μέρος καὶ ἰδιουποστάτως τὰς δύο φύσεις λέγοντος καὶ ἐντεῦθεν δύο υἱοὺς καὶ δύο Χριστοὺς ἀναπλάττοντος διὰ τὴν τοιαύτην αὐτοῦ βλασφημίαν ὑπὸ τῶν ἁγίων κατεκρίθη πατέρων. ἀμέλει τοι ὁ ἐν ἁγίοις Κύριλλος τὴν Ἰουδαικὴν αὐτοῦ μανίαν ἐλέγχων ἐν τῆι κατ' Ἔφεσον συνόδωι τοὺς ἁγίους πατέρας προήγαγεν ἀπαγορεύοντας μὲν τὸ λέγειν δύο υἱούς, δύο δὲ φύσεις καὶ ἕνα υἱὸν κηρύττοντας, καὶ Γρηγόριον μὲν ἐν τῆι πρὸς Κληδόνιον ἐπιστολῆι λέγοντα ταῦτα

Exc. Ephes. XIIII [Act. Conc. I 1, 2 p. 45, 24–28] Εἴ τις εἰσάγει δύο υἱούς, ἕνα μὲν τὸν ἐκ θεοῦ καὶ πατρός, ἕτερον δὲ τὸν ἐκ τῆς μητρός, ἀλλ' **154**
οὐχ ἕνα καὶ τὸν αὐτόν, καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσιν.
Eph. 1, 5
27 φύσεις μὲν γὰρ δύο θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο οὐδὲ θεοί.
2 Cor. 4, 16 οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου καὶ τὸ ἐκτὸς
29 προσηγόρευσεν.

de fide 2, 77 Ἀμβρόσιον δὲ τὸν Μεδιολάνου ταῦτα διδάσκοντα· σιγάτωσαν αἱ περὶ τῶν λόγων μάταιαι ζητή- **155**
1 Cor. 2, 4 σεις· ἡ γὰρ τοῦ θεοῦ σοφία οὐκ ἐν πειθοῖς λόγων ἐστίν, ἀλλ' ἐν ἀποδείξει δυνάμεως. φυλάξωμεν τὴν διαφορὰν τῆς θεότητος καὶ τῆς σαρκός· εἷς ἐν ἑκατέραι λαλεῖ ὁ τοῦ θεοῦ υἱός· ἑκατέρα γὰρ φύσις ἐστὶν ἐν αὐτῶι. ὁ αὐτὸς λαλεῖ καὶ οὐχ ἑνὶ πάντοτε διαλέγεται τρόπωι. ὁρᾶις γὰρ ἐν αὐτῶι νῦν μὲν δόξαν θεοῦ, νῦν δὲ πάθη ἀνθρώπου· ὡς θεὸς λαλεῖ τὰ θεῖα, ἐπειδὴ λόγος
35 ἐστίν, ὡς ἄνθρωπος λαλεῖ τὰ ἀνθρώπινα, ἐπεὶ ἐν τῆι ἐμῆι οὐσίαι διαλέγεται.

Καὶ ταῦτα μὲν τὰ ἐν τῆι κατακρίσει Νεστορίου παρὰ τοῦ ἐν ἁγίοις Κυρίλλου προενεχθέντα· **156**
ἀποδείξομεν δὲ αὐτὸν καὶ μετὰ τὴν κατάκρισιν Νεστορίου ἔκ τε τῆς πρὸς τοὺς Ἀνατολικοὺς συνοδικῆς ἐπιστολῆς ἔκ τε τῶν γραφέντων πρὸς Εὐλόγιον τὴν περὶ τῶν δύο φύσεων ἐπὶ τοῦ

---

24 – p. 35, 41 καὶ Γρηγόριον — πιστεύσαντες εἰς αὐτὸν om. Mai 30–35 in Gestis Ephesenis Graecis [Act. Conc. I 1, 2 p. 42, 27–43, 4] Iustiniano praesto erant ipsa Ambrosii verba Latina; usus est non uersione quae nunc illis inserta est, sed tali qualis praeter pauca habetur non diuersa Doctr. 2 XVI. de Leontio 37 non satis constat

C

21 καὶ διὰ C, καὶ del. C

Χριστοῦ ὀρθὴν ὁμολογίαν διδάσκοντα καὶ τοὺς οὕτω φρονοῦντας ἀποδεχόμενον. λέγει γὰρ ἐν τῇι πρὸς Εὐλόγιον ἐπιστολῆι τάδε

157 Ἐπιλαμβάνονται τινὲς τῆς ἐκθέσεως ἣς πεποίηνται οἱ Ἀνατολικοὶ καὶ φασι· διὰ τί δύο φύσεις ὀνομαζόντων αὐτῶν ἠνέσχετο ἢ καὶ ἐπήινεσεν ὁ τῆς Ἀλεξανδρείας; οἱ δὲ τὰ Νεστορίου φρονοῦντες λέγουσι κἀκεῖνον οὕτω φρονεῖν, συναρπάζοντες τοὺς οὐκ εἰδότας τὸ ἀκριβές. χρὴ δὲ τοῖς μεμφομένοις ἐκεῖνα λέγειν ὅτι οὐ πάντα ὅσα λέγουσιν οἱ αἱρετικοί, φεύγειν καὶ παραιτεῖσθαι χρή· πολλὰ γὰρ ὁμολογοῦσιν ὧν καὶ ἡμεῖς ὁμολογοῦμεν. οἷον Ἀρειανοὶ ὅταν λέγωσι τὸν πατέρα ὅτι δημιουργός ἐστι τῶν ὅλων καὶ κύριος, μὴ διὰ τοῦτο ἡμᾶς φεύγειν ἀκόλουθον τὰς τοιαύτας ὁμολογίας; οὕτως ἐπὶ Νεστορίου, κἂν λέγηι δύο φύσεις τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου· ἑτέρα γὰρ ἡ τοῦ λόγου φύσις καὶ ἑτέρα ἡ τῆς σαρκός. ἀλλ' οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. Act. Conc. I 1, 4 p. 35, 4–13

158 Ἰδοῦ σαφῶς διδάσκει ὁ πατὴρ ὅτι οὐ διὰ τὸ λέγειν δύο φύσεις Νεστόριος κατεκρίθη, ἀλλ' ἐπειδὴ τὴν τῶν δύο φύσεων καθ' ὑπόστασιν ἕνωσιν ἀπηρνεῖτο δύο υἱοὺς ἀναπλάττων. ταύτην δ' αὐτοῦ τὴν ἀσέβειαν ἀνελεῖν βουλόμενος ὁ ἐν ἁγίοις Κύριλλος εἶπεν μίαν φύσιν τοῦ υἱοῦ καὶ ἐπήγαγεν σεσαρκωμένην, σημαίνων ὅτι ἑτέρα ἐστὶ φύσις θεότητος καὶ ἑτέρα τῆς σαρκός, ἐξ ὧν ἐστιν ὁ εἷς Χριστὸς ὁ αὐτὸς υἱὸς θεοῦ καὶ ἀνθρώπου καὶ οὐ δύο Χριστοὶ οὐδὲ δύο υἱοί. καὶ ἡ μὲν ἁγία τοῦ θεοῦ ἐκκλησία ὀρθῶς δέχεται πάντα τὰ παρὰ τοῦ ἐν ἁγίοις Κυρίλλου εἰρημένα, ἐν οἷς καὶ τὴν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην ὡς σημαίνουσαν ἑτέραν εἶναι τῆς θεότητος φύσιν καὶ ἑτέραν τῆς σαρκός, ἐξ ὧν ὁ εἷς καὶ μόνος ἀπετελέσθη Χριστός. οἱ δὲ αἱρετικοὶ πάντα τὰ παρὰ τοῦ πατρὸς εἰρημένα καταλιμπάνοντες ταύτης καὶ μόνης ἀντέχονται τῆς λέξεως κακῶς αὐτὴν ἐκλαμβάνοντες καὶ ἐντεῦθεν νομίζοντες τὸν πατέρα μίαν θεότητος καὶ σαρκὸς εἰρηκέναι φύσιν. ἀλλ' ὥσπερ τὸν δυσσεβῆ Νεστόριον ἀνὰ μέρος καὶ ἰδιουποστάτως τὰς φύσεις λέγοντα καὶ δύο υἱοὺς εἰσάγοντα ὁ ἐν ἁγίοις Κύριλλος κατέκρινεν, οὕτω καὶ τοὺς μίαν θεότητος καὶ σαρκὸς ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντας φύσιν ἀποκηρύττει δεικνὺς ὅτι οἱ τοῦτο λέγοντες ἐξ ἀνάγκης ὁμοούσιον τὴν σάρκα τῆι θεότητι ὁμολογοῦσι, κἂν τοῦτο ἀρνεῖσθαι προσποιῶνται. λέγει γὰρ ἐν τῇι αὐτῆι πρὸς Εὐλόγιον ἐπιστολῆι κατὰ τῶν μίαν φύσιν θεότητος καὶ σαρκὸς λεγόντων καὶ μεμφομένων αὐτῶι διὰ τί τοὺς Ἀνατολικοὺς ἐδέξατο δύο φύσεις ἐπὶ τοῦ Χριστοῦ λέγοντας τάδε

159 Παρασκεύαζε δὲ αὐτοὺς προσέχειν τῆι ἀναγνώσει τῆς ἐπιστολῆς τοῦ μακαρίου πάπα Ἀθανασίου, ὅτι ἐκεῖ φιλονεικούντων τινῶν καὶ λεγόντων ὅτι ἐκ τῆς ἰδίας φύσεως ὁ θεὸς λόγος μετεποίησεν ἑαυτῶι τὸ σῶμα, ἄνω καὶ κάτω διισχυρίζεται ὅτι οὐχ ὁμοούσιον ἦν τῶι λόγωι τὸ σῶμα· εἰ δὲ οὐχ ὁμοούσιον, ἑτέρα πάντως καὶ ἑτέρα φύσις, ἐξ ὧν ὁ εἷς καὶ μόνος νοεῖται Χριστός. κἀκεῖνο δὲ μὴ ἀγνοείτωσαν· ὅπου γὰρ ἕνωσις ὀνομάζεται, οὐχ ἑνὸς πράγματος σημαίνεται σύνοδος, ἀλλ' ἢ δύο ἢ καὶ πλειόνων καὶ διαφερόντων ἀλλήλοις κατὰ φύσιν. εἰ τοίνυν λέγομεν ἕνωσιν, ὁμολογοῦμεν ὅτι σαρκὸς ἐψυχωμένης νοερῶς καὶ λόγου, καὶ οἱ δύο λέγοντες φύσεις οὕτω νοοῦσιν· πλὴν τῆς ἑνώσεως ὁμολογουμένης οὐκέτι διίστανται ἀλλήλων τὰ ἑνωθέντα. Act. Conc. t. I 1, 4 p. 36, 3–11

160 Προσέχειν τοίνυν δεῖ τῆι τοῦ πατρὸς διδασκαλίαι τοὺς ἀναγινώσκοντας ὅτι ἑτέραν φύσιν τῆς θεότητος καὶ ἑτέραν τῆς σαρκὸς εἰπὼν ἕνα Χριστὸν ἀποτελεσθῆναι διδάσκει καὶ οὐ μίαν φύσιν. ἀμέλει οὐδαμοῦ εὑρίσκεται εἰρηκὼς μίαν φύσιν Χριστοῦ, ἀλλ' ὁσάκις εἶπεν μίαν φύσιν, ἢ τοῦ λόγου ἢ τοῦ υἱοῦ εἶπεν καὶ ἐπήγαγεν σεσαρκωμένην, ἵνα δείξηι μὴ μόνον ἐν τῇι θείαι, ἀλλὰ καὶ ἐν τῇι ἀνθρωπίνηι φύσει τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν μονογενῆ υἱὸν καὶ λόγον τοῦ θεοῦ καὶ θεὸν ἡμῶν ὑπάρχειν. πῶς γὰρ ἠδύνατο μίαν φύσιν θεότητος καὶ σαρκὸς ὁ ἐν ἁγίοις

Κύριλλος λέγειν, ὅπου γε ἐν πολλοῖς τῶν αὐτοῦ συγγραμμάτων λέγει ὅτι οὐκ ἀνήιρηται ἡ τῶν φύσεων διαφορὰ διὰ τὴν ἕνωσιν; εἰ δὲ οὐκ ἀνήιρηται, οὐκ ἄρα μία φύσις τοῦ Χριστοῦ.

'Εφεξῆς δὲ ἐν τῆι αὐτῆι ἐπιστολῆι πλατύτερον ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος μαρτυρῶν τοῖς **161**
'Ανατολικοῖς ὡς ὀρθῶς τὰ περὶ τῆς οἰκονομίας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ
δογματίσασιν ἐπάγει τάδε

Act. Conc. l. c. p. 36, 13–37, 2

Οἱ γὰρ ὁμολογοῦντες ὅτι ἐκ θεοῦ πατρὸς γεννηθεὶς ὁ μονογενὴς λόγος ἐγεννήθη ὁ αὐτὸς κατὰ σάρκα ἐκ γυναικός, καὶ ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος, καὶ ὅτι ἓν αὐτοῦ τὸ πρόσωπον, καὶ ὅτι οὐ δύο υἱοί, οὐ δύο Χριστοί, ἀλλ' εἷς, πῶς ταῖς Νεστορίου συμφέρονται δόξαις; Νεστόριος μὲν γὰρ ἐν ταῖς ἑαυτοῦ ἐξηγήσεσι προσποιεῖται λέγειν 'εἷς υἱὸς καὶ εἷς κύριος', ἀλλ' ἀναφέρει τὴν υἱότητα καὶ τὴν κυριότητα ἐπὶ μόνον τὸν τοῦ θεοῦ λόγον · ὅταν δὲ ἔλθηι εἰς τὴν οἰκονομίαν, πάλιν ἕτερον κύριον τὸν ἐκ γυναικὸς ἰδίαι ἄνθρωπόν φησιν συναφθέντα τῆι ἀξίαι ἢ τῆι ἰσοτιμίαι. τὸ γὰρ λέγειν ὅτι διὰ τοῦτο ὁ θεὸς λόγος Χριστὸς ὀνομάζεται, ὅτι ἔχει τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστόν, πῶς οὐκ ἐναργῶς ἐστι λέγειν δύο Χριστούς, εἰ Χριστὸς πρὸς Χριστὸν ἔχει συνάφειαν ὡς ἄλλος πρὸς ἄλλον; οἱ δὲ ἐκ τῆς 'Ανατολῆς οὐδὲν εἰρήκασι τοιοῦτον, τὰς δὲ φωνὰς διαιροῦσι μόνον. διαιροῦσι δὲ κατὰ τοῦτον τὸν τρόπον, ὡς τὰς μὲν θεοπρεπεῖς εἶναι λέγειν, τὰς δὲ ἀνθρωπίνας, τὰς δὲ κοινοποιηθείσας ὡς ἐχούσας ὁμοῦ τὸ θεοπρεπὲς καὶ τὸ ἀνθρώπινον, πλὴν εἰρημένας παρὰ ἑνὸς καὶ τοῦ αὐτοῦ καὶ οὐχ ὡς Νεστόριος τὰς μὲν τῶι θεῶι λόγωι ἰδικῶς ἀπονέμει, τὰς δὲ τῶι ἐκ γυναικὸς ὡς ἑτέρωι υἱῶι. ἕτερον δέ ἐστι φωνῶν εἰδέναι διαφορὰν καὶ ἕτερον τὸ μερίζειν δυσὶ προσώποις ὡς ἑτέρωι καὶ ἑτέρωι.

Καὶ ἱκανὰ μὲν ἦν καὶ ταῦτα καταισχῦναι τοὺς 'Ακεφάλους τοὺς ἀκολουθοῦντας τῆι Σευήρου **162**
πλάνηι · πλὴν καὶ ἐξ ἑτέρων ἔτι ἐπιδείξομεν ὅτι μετὰ τὴν Νεστορίου κατάκρισιν ὁ ἐν ἁγίοις Κύριλλος τῆι αὐτῆι ἐπέμεινεν διδασκαλίαι. 'Ιωάννου γὰρ τοῦ ἐν ὁσίαι τῆι μνήμηι ἀρχιεπισκόπου 'Αντιοχείας γενομένου ἅμα τῆι ὑπ' αὐτὸν συνόδωι συνοδικὴν ἐπιστολὴν ποιησαμένου πρὸς τὸν ἐν ἁγίοις Κύριλλον καὶ πᾶσαν τὴν ὑπ' αὐτὸν Αἰγυπτιακὴν σύνοδον καὶ τὴν τοιαύτην ἐπιστολὴν εἰς τὴν 'Αλεξάνδρειαν ἀποκομίσαντος Παύλου τοῦ τῆς ὁσίας μνήμης γενομένου ἐπισκόπου τῆς 'Εμισηνῶν πόλεως ὁ ἐν ἁγίοις Κύριλλος τὴν τοιαύτην ἐπιστολὴν δεξάμενος καὶ εὑρὼν ἐν αὐτῆι τὰ τῆς ἐκκλησίας ὀρθὰ δόγματα τὴν πρὸς τοὺς 'Ανατολικοὺς ἕνωσιν ἠσπάσατο καὶ συνοδικὴν πρὸς αὐτοὺς ἐπιστολὴν ἐποιήσατο, ἧς μέρος τῶι παρόντι συνείδομεν ἐνθεῖναι λόγωι ἔχον οὕτως

Act. Conc. t. I 1, 4 p. 16, 21–17, 25

"Οτι δὲ περιττὴ παντελῶς καὶ οὐκ εὐάφορμος τῶν ἐκκλησιῶν ἡ διχοστασία γέγονεν, νῦν μά- **163**
λιστα πεπληροφορήμεθα τοῦ κυρίου μου τοῦ θεοσεβεστάτου Παύλου τοῦ ἐπισκόπου χάρτην προκομίσαντος ἀδιάβλητον ἔχοντα τῆς πίστεως τὴν ὁμολογίαν καὶ ταύτην συντετάχθαι διαβεβαιουμένου παρά τε τῆς σῆς ὁσιότητος καὶ τῶν αὐτόθι θεοσεβεστάτων ἐπισκόπων. ἔχει δὲ οὕτως ἡ συγγραφή, ἣ καὶ αὐταῖς ταῖς λέξεσιν ἐντέθειται τῆιδε ἡμῶν τῆι ἐπιστολῆι. περὶ δὲ τῆς θεοτόκου παρθένου ὅπως καὶ φρονοῦμεν καὶ λέγομεν, τοῦ τε τρόπου τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἀναγκαίως, οὐκ ἐν προσθήκης μέρει, ἀλλ' ἐν πληροφορίας εἴδει, ὡς ἄνωθεν ἔκ τε τῶν θείων γραφῶν ἔκ τε τῆς παραδόσεως τῶν ἁγίων πατέρων παρειληφότες ἐσχήκαμεν, διὰ βραχέων ἐροῦμεν, οὐδὲν τὸ σύνολον προστιθέντες τῆι τῶν ἁγίων πατέρων τῆι ἐν Νικαίαι ἐκτεθείσηι πίστει. ὡς γὰρ ἔφθημεν εἰρηκότες, πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν καὶ πάσης αἱρετικῆς κακοδοξίας ἀποκήρυξιν. ἐροῦμεν δέ, οὐ κατατολμῶντες τῶν ἀνεφίκτων, ἀλλὰ τῆι ὁμολογίαι τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες τοῖς ἐπιφύεσθαι βουλομένοις ἐν οἷς τὰ ὑπὲρ ἀνθρω-

---

C

17 περὶ C 37 τῆι[2]] postulatur τῶν, sed cf. notam ad Act. Conc. l. c. p. 17, 5

πον διασκεπτόμεθα. ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. δύο γὰρ φύσεων ἕνωσις γέγονεν· δι' ὃ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῶι τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεηγόρους ἄνδρας τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων, καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα παραδιδόντας. ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς οὕτω τε καὶ ἑαυτοὺς φρονοῦντας εὑρίσκοντες (εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα) ἐδοξάσαμεν τὸν τῶν ὅλων σωτῆρα θεόν, ἀλλήλοις συγχαίροντες ὅτι ταῖς θεοπνεύστοις γραφαῖς καὶ τῆι παραδόσει τῶν ἁγίων ἡμῶν πατέρων συμβαίνουσαν ἔχουσι πίστιν αἵ τε παρ' ὑμῖν καὶ αἱ παρ' ἡμῖν ἐκκλησίαι. *5* *10* Eph. 4, 5 *15*

164 Καὶ ταῦτα μὲν ἐν τῆι πρὸς τοὺς Ἀνατολικοὺς συνοδικῆι ἐπιστολῆι ὁ ἐν ἁγίοις Κύριλλος· κατάδηλα δὲ ποιῆσαι βουλόμενος πάσηι τῆι ὑπ' αὐτὸν συνόδωι καὶ τῶι τῶν Ἀλεξανδρέων λαῶι τὰ δόγματα ἐφ' οἷς ἡνώθη ταῖς Ἀνατολικαῖς ἐκκλησίαις, προέτρεψεν τὸν ἐν ἁγίοις Παῦλον τῆι μεγάληι τῶν Ἀλεξανδρέων ἐκκλησίαι τὰ περὶ τῆς ὀρθῆς ὁμιλῆσαι πίστεως, ἐξ ὧν ἐστι τάδε *19*

165 Ὁ συναίδιος τῶι πατρὶ καὶ τῶν πάντων κύριος καὶ δημιουργὸς τοσοῦτον ἐταπείνωσεν ἑαυτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ὥστε σὰρξ ἐγένετο, ἵνα ἀπὸ τοῦ εὐτελεστέρου τῆς φύσεως ἡμῶν μέρους τοὺς ὑπερβάλλοντας τοῦ θεοῦ περὶ ἡμᾶς οἰκτιρμοὺς δείξηι. ὁ λόγος οὖν, φησί, σὰρξ ἐγένετο, καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἐπήγαγεν καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τὸ δὲ δεύτερον τοῦ πρώτου ἑρμηνεία ἐστίν. τί ἐστιν ὁ λόγος σὰρξ ἐγένετο; καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τουτέστιν ἐν τῆι ἡμετέραι φύσει. ὅρα καὶ τὸν Ἰωάννην δύο φύσεις κηρύττοντα καὶ ἕνα υἱόν. ἕτερον σκηνὴ καὶ ἕτερον τὸ σκηνοῦν· ἕτερον ναὸς καὶ ἕτερον ὁ ἐνοικῶν θεός. πρόσεχε τῶι λεγομένωι· οὐκ εἶπεν ἕτερος καὶ ἕτερος ὡς ἐπὶ δύο προσώπων ἢ δύο Χριστῶν ἢ δύο υἱῶν, ἀλλ' ἕτερον καὶ ἕτερον ὡς ἐπὶ δύο φύσεων. ὅτε οὖν εἶπεν καὶ ἐσκήνωσεν ἐν ἡμῖν καὶ ἐκήρυξεν τὰς δύο φύσεις, τότε ἐπήγαγεν καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς. οὐκ εἶπεν δύο υἱῶν, ἀλλ' ὡς μονογενοῦς. Ἡσαίας οὖν κηρύττει τὸν Ἐμμανουήλ, τουτέστιν θεὸν ἐνανθρωπήσαντα. Πέτρος λέγει σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, τὴν διττὴν φύσιν καὶ τὸ μοναδικὸν πρόσωπον τοῦ υἱοῦ. ὁ θεολόγος Ἰωάννης λέγει καὶ ἐσκήνωσεν ἐν ἡμῖν, δύο φύσεις καὶ τοῦ μονογενοῦς τὸ ἓν πρόσωπον. *28* Act. Conc. t. I 1, 4 p. 13, 6–21 Ioh. 1, 14 Ioh. 1, 14 Ies. 7, 14 Mt. 16, 16

Τούτων δὲ οὕτω λεχθέντων ὁ μὲν λαὸς ἐπευφήμησεν, ὁ δὲ ἐν ἁγίοις Κύριλλος βεβαιῶν τὰ παρὰ Παύλου λεχθέντα λέγει τάδε *35* Act. Conc. t. I 1, 4 p. 14, 26–15, 3

166 Ὁ μακάριος προφήτης Ἡσαίας τῶν ἐν Χριστῶι διδασκάλων τὰς εὐστομίας προανακηρύττων ἔλεγεν ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. ἰδοὺ τοίνυν ἠντλήσαμεν ὑμῖν ὕδωρ ἐξ ἁγίας πηγῆς, τοῦ προλαβόντος φημὶ διδασκάλου, ὃς ταῖς διὰ τοῦ πνεύματος δαιδουχίαις λελαμπρυσμένος διεσάφησεν ἡμῖν τὸ μέγα καὶ σεπτὸν τοῦ σωτῆρος μυστήριον, δι' οὗ σεσώσμεθα πιστεύσαντες εἰς αὐτόν. Ies. 12, 3 *40*

167 Ἐκ τῶν εἰρημένων τοίνυν ἁπάντων ἀποδέδεικται ὅτι ὁ ἐν ἁγίοις Κύριλλος καὶ πρὸ τῆς Νεστορίου κατακρίσεως καὶ ἐν αὐτῆι τῆι κατακρίσει καὶ μετὰ τὴν αὐτοῦ κατάκρισιν οὐ διέλιπεν τὴν

περὶ τῶν δύο φύσεων ἐπὶ τοῦ ἑνὸς Χριστοῦ ὁμολογίαν ἀεὶ κηρύττων. ἀλλ' οὐδὲν τούτων
Σευῆρος ὁ τῆς ἀληθείας ἐχθρὸς ἐννοῶν τοὺς μὲν πατέρας ὀνόματι δῆθεν πατέρας ἀποκαλεῖ, ἀρ-
νεῖται δὲ τὰ παρ' αὐτῶν ὀρθῶς τῇ ἐκκλησίαι παραδεδομένα δόγματα, μὴ γινώσκων ὅτι Νεστό-
4 ριος μὲν διὰ τὴν οἰκείαν ἀσέβειαν κατακέκριται, οὐ μὴν δι' ἐκεῖνον ἡ τῶν πατέρων ἀνήιρηται δι-
1137 δασκαλία. εἰ γὰρ κατὰ τὴν Σευήρου μανίαν τὰς φωνὰς τὰς παρὰ μὲν τῶν ἁγίων πατέρων ὀρθῶς
εἰρημένας, παρὰ δὲ αἱρετικῶν κακῶς ἐκλαμβανομένας παραιτεῖσθαι δεῖ, καὶ αὐτὴν ἀθετήσει
τὴν θείαν γραφήν, ἐξ ἧς πάντες αἱρετικοὶ τῇι οἰκείαι συνηγορεῖν οἴονται νόσωι, καὶ δῆλον ὅτι
κατὰ τοὺς ἐκείνου λήρους αἵ τε θεῖαι γραφαὶ καὶ αἱ τῶν πατέρων παραδόσεις ἀποδοκιμασθή-
σονται.

10 Ἀλλὰ ταῦτα μὲν ἡμεῖς πρὸς τοὺς αἱρετικοὺς ἀθετοῦντας τὴν τῶν πατέρων διδασκαλίαν· ἡ δὲ **168**
ἁγία τοῦ θεοῦ ἐκκλησία τὰς μὲν τοιαύτας τῶν αἱρετικῶν ματαιολογίας ἀποστρεφομένη, φυλάτ-
τουσα δὲ τὴν τοῦ κυρίου καὶ τῶν ἁγίων ἀποστόλων τε καὶ πατέρων παράδοσιν ἕνα καὶ τὸν αὐτὸν
κηρύττει μονογενῆ θεὸν λόγον κύριον Ἰησοῦν Χριστὸν ἐν ἀμφοτέραις ταῖς οὐσίαις, τῇι τε τοῦ
θεοῦ καὶ πατρὸς καὶ τῇι τῆς παρθένου μητρὸς γνωριζόμενον. καὶ οἱ τοῦτο μὴ ὁμολογοῦντες
15 ἢ τὴν ἐκ τοῦ θεοῦ καὶ πατρὸς γέννησιν ἀπαρνοῦνται τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ καὶ κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ ἢ τὴν ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· οὐ γὰρ
τὴν οὐσίαν οὐκ ἔχει ὁ Χριστός, ἀπέστη κατ' αὐτοὺς καὶ τοῦ εἶναι υἱός. εἰ δὲ συνελαυνόμενοι
ἐκ τῆς θείας γραφῆς καὶ τῆς τῶν πατέρων διδασκαλίας ὁμολογοῦσι μεθ' ἡμῶν υἱὸν εἶναι τὸν
Χριστὸν κατὰ ἀλήθειαν τοῦ θεοῦ καὶ πατρὸς καὶ τὸν αὐτὸν κατὰ ἀλήθειαν υἱὸν εἶναι τῆς παρθένου
20 μητρός, ὁμολογήσουσιν ἐξ ἀνάγκης ὥσπερ τὰς δύο γεννήσεις ἑνὸς καὶ τοῦ αὐτοῦ, οὕτως καὶ τὰς δύο
οὐσίας ἔχειν αὐτόν. εἰ γὰρ καθὼς οἱ πατέρες διδάσκουσι, μήτε ἡ τῆς θεότητος τοῦ Χριστοῦ
φύσις εἰς τὴν τῆς σαρκὸς αὐτοῦ μεταβέβληται φύσιν μήτε ἡ τῆς σαρκὸς αὐτοῦ εἰς τὴν τῆς θεό-
τητος μήτε μὴν ἡ διαφορὰ τῶν φύσεων ἀνήιρηται διὰ τὴν ἕνωσιν, ἀλλ' ἔμεινεν ἑκάτερον ὅπερ
ἐστὶ τῇι φύσει, καὶ διπλοῦν ἐστι τὸ περὶ αὐτοῦ κήρυγμα καὶ ἐν ἑκατέραις ταῖς οὐσίαις γνωρίζεται,
25 τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι, πῶς οὐκ αἰσθάνονται τῆς οἰκείας πλάνης οἱ μίαν τοῦ
Χριστοῦ τερατευόμενοι φύσιν καὶ τῶν μὲν κατ' ἀλήθειαν πραγμάτων τὴν ἀναίρεσιν βλασφημοῦν-
τες, ψιλὰ δὲ ὀνόματα θεότητος καὶ ἀνθρωπότητος τῶι Χριστῶι χαριζόμενοι;

Ἀλλὰ πᾶσαν ὀρθὴν παρορῶντες διδασκαλίαν ἐκείνωι μόνωι τὸν νοῦν προσέχουσιν τῶι νομίζειν **169**
ὅτι ἡ φύσις ἤγουν οὐσία καὶ μορφὴ ταὐτὸν τῇι ὑποστάσει καὶ τῶι προσώπωι δηλοῦσιν, ὅπερ καὶ
30 πᾶσι τοῖς αἱρετικοῖς πρόφασις γίνεται πλάνης. καὶ τὰ μὲν περὶ τούτου καὶ ἐν τῶι ἤδη γρα-
φέντι παρ' ἡμῶν λόγωι πρὸς Ζωίλον τὸν μακαριώτατον ἀρχιεπίσκοπον τῆς Ἀλεξανδρέων καὶ
πατριάρχην ἱκανῶς ἀποδέδεικται, παραστησάντων ἡμῶν ὅτι φύσις καὶ οὐσία καὶ μορφὴ ταὐτὸν
δηλοῖ καὶ ἐπὶ τοῦ κοινοῦ σημαινομένου λαμβάνονται, τὸ δὲ πρόσωπον καὶ ἡ ὑπόστασις ἐπὶ τῶν καθ'
34 ἕκαστον λέγεται· πλὴν καὶ ἐνταῦθα δι' ἑτέρων μαρτυριῶν τῶν ἁγίων πατέρων τὸ αὐτὸ παρα-
c. Apollin. 2, 1 [PG 21, 1133] στήσομεν. εὐθὺς γὰρ ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῶι λόγωι τῶι περὶ τῆς σωτηριώδους ἐπιφανείας
λέγει τάδε

Ὥσπερ γὰρ ἡ μορφὴ τοῦ θεοῦ τὸ πλήρωμα τῆς τοῦ λόγου θεότητος νοεῖται, οὕτως καὶ ἡ μορφὴ **170**
τοῦ δούλου ἡ νοερὰ τῆς τῶν ἀνθρώπων συστάσεως φύσις σὺν τῇι ὀργανικῇι καταστάσει ὁμο-
39 λογεῖται.

hom. 6, 1 [XI p. 234. 235 Montf.] Τὰ αὐτὰ δὲ ἡμᾶς καὶ ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Κωνσταντινουπόλεως ἐπίσκοπος ἐκδιδάσκει τὴν **171**
πρὸς Φιλιππησίους ἐπιστολὴν ἑρμηνεύων καὶ λέγων

---

35 εὐθὺς γὰρ — p. 37, 13 μετέχουσιν οὐσίας om. Mai

Τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων Phil. 2, 5–7
οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῳ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου
λαβών. μορφὴ θεοῦ, φησίν, μορφὴν δούλου ἔλαβεν. ἡ μορφὴ τοῦ δούλου ἐνέργεια δούλου
ἐστὶν ἢ φύσις δούλου; πάντως δήπου φύσις δούλου. οὐκοῦν καὶ ἡ μορφὴ τοῦ θεοῦ φύσις,
οὐκ ἄρα ἐνέργεια. 5

172 Καὶ ὁ μέγας δὲ Βασίλειος ἐν τῷ κατ' Εὐνομίου λόγῳ λέγει τάδε PG 29, 673

Τὸ ἐν μορφῇ θεοῦ τὸ ἐν οὐσίαι ἐστὶ θεοῦ· οὐ γὰρ ἄλλο μορφὴ θεοῦ καὶ ἄλλο οὐσία θεοῦ, ἵνα
μὴ σύνθετος. ὁ κατὰ μορφὴν οὖν ἴσος καὶ κατ' οὐσίαν ἐστὶν ἴσος.

173 Καὶ ὁ ἐν ἁγίοις δὲ Κύριλλος ἐν τῷι ἑνάτωι λόγωι τοῦ Θησαυροῦ λέγει τάδε PG 75, 124

Ὅπου φύσεως ταυτότης, ἐκεῖ πάντως ἔσται καὶ τὸ ὁμοούσιον· κωλύει δὲ οὐδέν, μᾶλλον δὲ 10
ἀνάγκη πᾶσα τὸ ἔκ τινος φυσικῶς προελθὸν ὅμοιον εἶναι κατ' οὐσίαν αὐτῷι.

174 Καὶ πάλιν ἐν τῷι δωδεκάτωι λόγωι· ὧν φύσις μία, τούτοις ἔσται καὶ τὸ ὄνομα κοινόν, καὶ ὅπερ ibid. 200
ἄν τινι κατὰ φύσιν ὑπάρχηι, τοῦτο πάντως ἐγκείσεται τοῖς τῆς αὐτῆς μετέχουσιν οὐσίας.

175 Ταῦτα τοίνυν εἰρήκαμεν δεικνύντες ὅτι οὐσία καὶ φύσις καὶ μορφὴ ταὐτὸν δηλοῦσιν· ὅτι δὲ
οὐχὶ ταὐτόν ἐστιν οὐσία τε καὶ ὑπόστασις, ὡς οἱ αἱρετικοὶ πλανώμενοι λέγουσιν, καὶ ἐκ τῆς περὶ 15
τὴν ἁγίαν τριάδα θεολογίας ἔξεστι μαθεῖν. ὅτε γὰρ εἴπομεν θεόν, τὴν μίαν οὐσίαν τῆς ἁγίας
τριάδος σημαίνομεν· ὅτε δὲ λέγομεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τότε τὰς τρεῖς ὑποστά- 1140
σεις εἴτ' οὖν τὰ τρία πρόσωπα τὰ ἐν τῆι μιᾶι φύσει τῆς θεότητος γνωριζόμενα παριστῶμεν. οὕτω
γὰρ ἡμᾶς καὶ ἡ θεία διδάσκει φωνὴ ἡ λέγουσα ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέ- Gen. 1, 26
ραν καὶ καθ' ὁμοίωσιν. ἡ δὲ φωνὴ τοῦ ποιήσωμεν οὐχ ἑνός ἐστι προσώπου σημαντικὴ 20
κατὰ τὴν Σαβελλίου μανίαν· πληθυντικῶς γὰρ εἰρημένη τῆς ἁγίας τριάδος ἐστὶ δηλωτική. καὶ
τὸ κατ' εἰκόνα δὲ ἡμετέραν τὴν μίαν οὐσίαν δηλοῖ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· οὐ
γὰρ εἶπεν κατ' εἰκόνας, ἵνα μὴ διαφόρους τὰς οὐσίας τῆς τριάδος ὑπονοήσωμεν κατὰ τὴν Ἀρείου
μανίαν, ἀλλὰ κατ' εἰκόνα, ἵνα μίαν οὐσίαν καὶ ὁμοούσιον δείξηι τὴν ἁγίαν τριάδα. τὸ δὲ
εἰπεῖν κατ' εἰκόνα ἡμετέραν τὸν ἄνθρωπον τὴν νοερὰν τῆς ἀνθρωπότητος φύσιν ἐσήμανεν, 25
καθ' ἣν ἐσμὲν εἰκὼν τοῦ θεοῦ· οὐ γὰρ εἶπε ποιήσωμεν τόνδε, ἵνα μὴ πρόσωπον νοηθῆι, ἀλλ' εἶπεν
ποιήσωμεν ἄνθρωπον, ἵνα ἡ νοερὰ τῆς ἀνθρωπότητος φύσις δηλωθῆι. ὅτε δὲ τὰς ὑπο-
στάσεις παραστῆσαι ἠβουλήθη, τότε τὸ ἄρρεν καὶ τὸ θῆλυ Ἀδὰμ καὶ Εὔαν ἐκάλεσεν, ὅπερ
ἐστὶ πρόσωπα εἴτ' οὖν ὑποστάσεις.

176 Καὶ ἐκ τῶν ἁγίων δὲ πατέρων παραστήσομεν ὅτι φύσις καὶ ὑπόστασις οὐκ ἐπὶ τοῦ αὐτοῦ ση- 30
μαινομένου λαμβάνεται, καὶ πρῶτον τὸν ἐν ἁγίοις Κύριλλον παραστήσομεν ἐν τῷι περὶ τριάδος
λόγωι ταύτην ἰδικῶς ἐμβάλλοντα αὐτῶν τὴν παράνοιαν, ἐν ὧι καὶ πρὸς πεῦσιν καὶ ἀπόκρισιν τὴν
διδασκαλίαν ποιούμενος λέγει τάδε

177 Ἡνῶσθαι φαμὲν τῷι πατρὶ τὸν υἱὸν καθ' ἡμᾶς τε ἅμα καὶ ὑπὲρ ἡμᾶς. ἔστιν μὲν γὰρ ὁμο- PG 75, 697
λογουμένως τῷι γεγεννηκότι πάντως που καὶ ὁμοούσιος, εἴπερ ἐστὶν ἀληθῶς υἱός τε καὶ ἐξ αὐ- 35
τοῦ· ἐν ἰδίαι δὲ ὢν ὑποστάσει τῆιδέ γε ἔχειν εὖ μάλα πεπιστευμένος οὐ καθάπερ ἡμεῖς ἀλλήλων
κατὰ νόμον σωμάτων διεστήκαμεν, καὶ αὐτὸς τοῦ πατρὸς τὴν εἰς ἅπαν ἔχων διατομήν, εἰς ἑτερό-
τητα δέ, τὴν καθ' ἕκαστον λέγω, φυσικὴν καὶ ἄρρητον ἔχων τὴν ἕνωσιν, οὐκ ἀνάχυσίν τινα τὴν

---

30 — p. 39, 9 Καὶ ἐκ τῶν ἁγίων — ἐπὶ τῶν καθ' ἕκαστον om. Mai C

29 ἤτ' οὖν C

εἰς ἀλλήλας παθουσῶν τῶν ὑποστάσεων κατά γε τὸ τισὶν δοκοῦν, ὡς τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱόν, ἀλλ' ὄντος τε καὶ ὑφεστηκότος ἑκατέρου καὶ ἰδίαν ἔχειν λεγομένου ὕπαρξιν ἡ τῆς οὐσίας ταυτότης βραβεύει τὴν ἕνωσιν. ἐν ἰδίαι φὴς οὖν εἶναι τὸν υἱὸν οὐσίαι παρὰ τὴν τοῦ πατρός; οὐκ ἐν οὐσίαι μᾶλλον ἑτέραι παρὰ τὴν ὡς θεοῦ, ἀλλ' ἐν ὑποστάσει τῆι ὡς υἱοῦ. ἕτερον γάρ τί ἐστιν οὐσία καὶ ἕτερον ὑπόστασις; ναί· πολὺ γὰρ τὸ διεῦργον καὶ διὰ μέσου χωροῦν, εἴπερ ἐστὶν οὐσία τῶν καθ' ἕκαστα περιεκτική. τίνα φὴς τρόπον; βραδὺς γάρ, ὡς ἔοικεν, ἔν γε τοῖς τοιούτοις ἐγώ. ἢ γὰρ οὐκ οἶσθα ὅτι κἀμοί πως οὐκ ἐντριβὴς ὁ περὶ τούτων λόγος; ἰτέον δ' οὖν ἐπὶ τὴν ἐγχωροῦσαν βάσανον, ὡς ἐν εἰκόνι τυχὸν ἐν ὑπερτάτοις οὔσης ὑψώμασι τῆς θείας ὑπεροχῆς. οὐκοῦν τῆς οὐσίας ἡ δήλωσις κατὰ κοινοῦ τινος ἔοικεν ἰέναι πράγματος, τὸ δὲ τῆς ὑποστάσεως ἑκάστου τυχὸν ὀνόματος καθ' ὧν τὸ κοινὸν κατηγορεῖται καὶ λέγεται. οἷον δέ μεν νῦν ἐκεῖνο δηλοῦν. τὸ ποῖόν τι διοριζόμεθα τὸν ἄνθρωπον; ζῶιον λογικὸν καὶ θνητόν. τὸν αὐτῶι πρέποντα τιθέμενοι λόγον, καὶ τοῦτο οὐσίας ὅρον εἶναι φαμὲν κατὰ παντὸς ἰούσης τῶν κατὰ μέρος ὑφεστηκότων. ὑπὸ οὖν τὸ κοινὸν δὴ τοῦτο, τουτέστι τὸν ἄνθρωπον καὶ τὸν τοῦ ἀνθρώπου ὅρον πίπτει μέν, οἶμαι, Θωμᾶς τε καὶ Μάρκος ἤ, φέρε εἰπεῖν, Πέτρος τε καὶ Παῦλος· καὶ τὴν μὲν οὐσίαν ὠδὶ κατασημήναι τις ἄν, τῶν δὲ καθ' ἕκαστον νοουμένων οὔπω σαφῆ τε καὶ ἐναργῆ τὴν δήλωσιν ἐποιήσατο. οὐ γὰρ εἴ τι ἄνθρωπος ἁπλῶς, τοῦτό ἐστιν Πέτρος καὶ Παῦλος. Θωμᾶν δὲ καὶ Πέτρον εἰπὼν τοῦ μὲν τῆς οὐσίας ὅρου οὐκ ἐξοίσει τὸ δηλούμενον (ἄνθρωπος γὰρ οὐδὲν ἧττόν ἐστιν), ἐν εἴδει δὲ ὄντα τῶι τοιούτωι [δὲ] τυχὸν καὶ ἐν ὑποστάσει τῆι ἰδικῆι καὶ μεμερισμένως ὑπέδειξεν. ἡ οὐσία τοιγαροῦν καὶ κατὰ ἀνθρώπου παντὸς ἅτε δὴ τὸν κοινὸν τοῦ γένους ὠδίνουσα λόγον, ἡ δὲ ὑπόστασις καθ' ἑνὸς ἄν νοοῖτο πρεπωδέστερον οὔτε τῆς κοινότητος ἐξιστᾶσα τὸ δηλούμενον οὔτε μὴν ἀναχέουσά τε καὶ ἀνακιρνῶσα πρὸς τὸ ἀσυμφανὲς ἔτι τῶν καθ' ἕκαστόν τι καὶ ἰδικῶς.

Τούτων τοίνυν παρὰ τοῦ ἐν ἁγίοις εἰρημένων Κυρίλλου δέδεικται σαφῶς ὅτι οὐσία καὶ ὑπό- **178**
στασις οὐ ταὐτὸν δηλοῖ, ἀλλ' ἡ μὲν οὐσία τὸ κοινόν, ἡ δὲ ὑπόστασις τὸ καθ' ἕκαστον σημαίνει. δείξομεν δὲ πάλιν τοὺς ἁγίους πατέρας διδάσκοντας ὅτι ἡ ὑπόστασις ταὐτὸν τῶι προσώπωι δηλοῖ. εὐθέως γοῦν τὸν θεολόγον Γρηγόριον εἰς τὴν τῶν ἐπισκόπων παρουσίαν παραστήσομεν ἑκάτερον ἡμᾶς ἐκδιδάσκοντα ὅτι τε οὐσία οὐ ταὐτόν ἐστι τῆι ὑποστάσει καὶ ὅτι οὐδὲν ἕτερον ἡ ὑπόστασις δηλοῖ ἢ τὸ πρόσωπον. λέγει τοίνυν οὕτως

or. 42, 16 [PG 36, 476] Πιστεύομεν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμοούσιά τε καὶ ὁμόδοξα, ἐν οἷς καὶ τὸ βά- **179**
πτισμα τὴν τελείωσιν ἔχει ἔν τε ὀνόμασι καὶ σχήμασιν (οἶδας ὁ μυηθείς), ἄρνησις ὂν ἀθείας καὶ ὁμολογία θεότητος, καὶ οὕτω καταρτιζόμεθα τὸ μὲν ἓν τῆι οὐσίαι γινώσκοντες καὶ τῶι ἀμερίστωι τῆς προσκυνήσεως, τὰ δὲ τρία ταῖς ὑποστάσεσιν εἴτ' οὖν προσώποις, ὅ τι σοι φίλον. μηδὲ γὰρ οἱ περὶ ταῦτα ζυγομαχοῦντες ἀσχημονείτωσαν ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ' οὐκ ἐν πράγμασιν. τί γὰρ φατὲ οἱ τὰς τρεῖς ὑποστάσεις φάσκοντες; μὴ τρεῖς οὐσίας ὑπολαμβάνοντες τοῦτο λέγετε; μέγα οἶδ' ὅτι βοήσετε κατὰ τῶν οὕτως ὑπειληφότων· μίαν γὰρ καὶ τὴν αὐτὴν τῶν τριῶν δογματίζομεν. τί δὲ οἱ τὰ πρόσωπα; μὴ ἓν οἷόν τι σύνθετον ἀναπλάσσετε καὶ τριπρόσωπον ἢ ἀνθρωπόμορφον ὅλως; ἄπαγε, καὶ ὑμεῖς ἀντιβοήσετε, μηδὲ πρόσωπον, ὅτι ποτέ ἐστιν, ἴδοι θεοῦ ὃς οὕτως ἔχει. τί οὖν ὑμῖν τὰ πρόσωπα; (προσερήσομαι γάρ) τῶι τρία εἶναι τὰ διαιρούμενα, οὐ φύσεσιν, ἀλλ' ἰδιότησιν; ὑπέρευ γε. πῶς ἄν τινες σωφρονοῖεν μᾶλλον καὶ τὸ αὐτὸ λέγοιεν ἢ οὕτως ἔχοντες, κἂν ταῖς συλλαβαῖς διαφέρωσιν;

C
18 δὲ om. Doctr. 6 VII 21 ἔτι C τι Doctr. 21 ἀνακιρνοῦσα C 22 τι C τε Doctr.

180 Καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ τῆς Νυσαέων ἐπίσκοπος ἐν τῶι δευτέρωι λόγωι τῶι κατ' Εὐνομίου λέγει τάδε

Ἡ μὲν γὰρ τῶν ὑποστάσεων ἰδιότης τρανήν τε καὶ ἀσύγχυτον ποιεῖται τὴν τῶν προσώπων διαστολήν· ἐν δὲ ὄνομα προκείμενον τῆς κατὰ τὴν πίστιν ἐκθέσεως σαφῶς ἡμῖν τὴν ἑνότητα τῆς οὐσίας τῶν ἐν τῆι πίστει προσώπων διερμηνεύει, πατρὸς λέγω καὶ υἱοῦ καὶ πνεύματος ἁγίου. διὰ γὰρ τῶν κλήσεων τούτων οὐ φύσεως διαφορὰν διδασκόμεθα, ἀλλὰ μόνας τὰς τῶν ὑποστάσεων γνωριστικὰς ἰδιότητας. c. Eunom. 12. 13 p. 301, 15–22 Jaeger

181 Καὶ ταῦτα μὲν οἱ πατέρες πρὸς ἀπόδειξιν τοῦ φύσιν μὲν καὶ οὐσίαν ἐπὶ τοῦ κοινοῦ σημαινομένου κατηγορεῖσθαι, πρόσωπον δὲ καὶ ὑπόστασιν ἐπὶ τῶν καθ' ἕκαστον· τίς δὲ οὐκ ἂν θαυμάσειεν τὴν τῶν αἱρετικῶν ἀλογίαν ὅτι ἕνωσιν λέγοντες καὶ τὴν διαφορὰν τῶν ἐν Χριστῶι φύσεών ἐστιν ὅτε ὁμολογοῦντες ἀρνοῦνται τὸν ἐκ τῆς διαφορᾶς τῶν ἡνωμένων πραγμάτων εἰσαγόμενον ἀριθμόν, σαφῶς καὶ ἐν τούτωι τὴν Ἀπολιναρίου νοσοῦντες μανίαν; λέγει γὰρ ὁ αὐτὸς Ἀπολινάριος ἐν τοῖς γραφεῖσιν αὐτῶι Συλλογισμοῖς τάδε frg. 113 Lietzm.

182 Μεσότητες γίνονται ἰδιοτήτων διαφόρων εἰς ἓν συνελθουσῶν, ὡς ἐν ἡμιόνωι ἰδιότης ὄνου καὶ ἵππου καὶ ἐν γλαυκῶι χρώματι ἰδιότης λευκοῦ καὶ μέλανος καὶ ἐν ἀέρι χειμῶνος καὶ θέρους ἰδιότης ἔαρ ἐργαζομένη· οὐδεμία δὲ μεσότης ἑκατέρας ἔχει τὰς ἀκρότητας ἐξ ὁλοκλήρου, ἀλλὰ μερικῶς ἐπιμεμιγμένας. μεσότης δὲ θεοῦ καὶ ἀνθρώπων ἐν Χριστῶι· οὐκ ἄρα οὔτε ἄνθρωπος ὅλος οὔτε θεός, ἀλλὰ θεοῦ καὶ ἀνθρώπου μῖξις.

183 Εἶτα πάλιν ἐν τῶι λόγωι αὐτοῦ τῶι ἐπιγεγραμμένωι ὅτι θεὸς ἔνσαρκος ὁ Χριστός, κατὰ πεῦσιν καὶ ἀπόκρισιν τὸν διάλογον ποιούμενος, ἐπερωτηθείς· Τί οὖν; οὐχὶ καὶ θεὸς καὶ ἄνθρωπός ἐστιν ὁ Χριστὸς ἢ θεὸν σὺ λέγεις τὸν Χριστὸν ἀρνούμενος αὐτὸν καὶ ἄνθρωπον εἶναι; λέγει τάδε· οὐκ ἐν δύο οὐσίαις, ἀλλ' ἐν μιᾶι. frg. 158 Lietzm.

184 Ταῦτα δὲ παρηγάγομεν, ἵνα δείξωμεν ὅτι τοῖς Ἀπολιναρίου πονηροῖς ἀκολουθοῦντες δόγμασιν οἱ Ἀκέφαλοι οὐχ ὁμολογοῦσιν ἐν δύο οὐσίαις εἶναί τε καὶ γνωρίζεσθαι τὸν Χριστόν, ἀλλ' ἐν μιᾶι, καίτοι τῶν ἁγίων ἡμῶν πατέρων ἐπὶ τῆς ἀφράστου ἑνώσεως τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ οὐ μίαν φύσιν παραδιδόντων, ἀλλὰ τὸν ἀριθμὸν τῶν ἑνωθεισῶν φύσεων ὁμολογεῖν ἡμᾶς διδασκόντων.

185 Καὶ εὐθὺς ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῶι λόγωι τῶι δεικνύντι ὅτι εἷς ὁ Χριστός, ἀποβαλλόμενος τοῦς λέγοντας μίαν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ φύσιν λέγει τάδε PG 75, 1289

Καίτοι πῶς οὐ λῆρος ἤδη ταυτὶ καὶ νοῦ παραπαίοντος ἀπόδειξις ἐναργής; πῶς γὰρ ἐν οὐσίας ταυτότητι κατίδοι τις ἂν τὰ τοῖς τῆς φύσεως λόγοις τοσοῦτον ἀλλήλων διωικισμένα; ἕτερον γάρ τι θεότης καὶ ἕτερον ἀνθρωπότης. ἐπεὶ τίνων φαμὲν γενέσθαι τὴν ἕνωσιν; οὐ γὰρ ἓν τῶι ἀριθμῶι φαίη τις ἂν εἶναι τὰ ἑνούμενα, ἀλλ' ἢ δύο τυχὸν ἢ καὶ τούτων πέρα.

186 Καὶ πάλιν ἐν τῆι πρὸς Εὐλόγιον ἐπιστολῆι λέγει τάδε

Ὅπου ἕνωσις ὀνομάζεται, οὐχ ἑνὸς πράγματος σημαίνεται σύνοδος, ἀλλ' ἢ δύο ἢ καὶ πλειόνων καὶ διαφερόντων ἀλλήλοις κατὰ τὴν φύσιν. Act. Conc. I 1, 4 p. 36, 7–9

187 Τούτων τοίνυν οὕτω παρὰ τοῦ ἐν ἁγίοις πατρὸς εἰρημένων δῆλοι καθεστᾶσιν οἱ αἱρετικοὶ τὸν ἀριθμὸν τῶν συνελθόντων πραγμάτων ἀπαρνούμενοι καὶ αὐτὴν τὴν ἕνωσιν ἀναιροῦντες καὶ θεὸν καὶ ἄνθρωπον τὸν Χριστὸν πρὸς ἀπάτην λέγοντες τῶν ἁπλουστέρων. εἰ γὰρ κατὰ ἀλήθειαν ἔλεγον θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν Χριστόν, δῆλον ὅτι καὶ τὰς δύο οὐσίας ἐν αὐτῶι σώιζεσθαι ὡμολόγουν· μὴ ὁμολογοῦντες δὲ τὸν ἀριθμὸν τῶν ἑνωθέντων πραγμάτων δείκνυνται 1140 1141

28–37 καὶ εὐθὺς ὁ ἐν ἁγίοις — πατρὸς εἰρημένων om. Mai

μηδὲν τέλειον ἐν Χριστῶι λέγοντες. τοῦτο γὰρ καὶ ὁ διδάσκαλος τῆς πλάνης αὐτῶν Ἀπολινάριος ἐν τῶι Περὶ τῆς θείας σαρκώσεως λόγωι γράφει λέγων

frg. 81 Lietzm. Καὶ γὰρ εἰ ἀνθρώπωι τελείωι συνήφθη θεὸς τέλειος, δύο ἂν ἦσαν· τὸ δὲ ἀτελὲς ἄρα τῶι τε- 188
4 λείωι συντιθέμενον οὐκ ἐν δυάδι θεωρεῖται.

PG 45, 1212–1216 Πρὸς ἃ ἀντιλέγων Γρηγόριος ὁ Νύσης λέγει τάδε 189

Οὐκ εἶδεν ὁ γεννάδας οὐδὲ παιδία ποτὲ τοὺς ἐπὶ τῆς παλάμης δακτύλους ἐξαριθμούμενα ὁ τὸν μικρὸν τῶι μείζονι συναριθμῶν. ἕνα μὲν ὀνομάζει τὸν ἐλαττούμενον καὶ ἕνα τὸν ὑπερέχοντα, δύο δὲ ὅμως εἶναί φησιν, εἰ μετ' ἀλλήλων ἀμφοτέρους λογίζοιτο. πᾶς γὰρ ἀριθμὸς μονάδων ἐστὶ σύνθεσις τὸ ἀθροιζόμενον ἐκ τούτων ἐν κεφαλαίωι σημαίνων· εἰ δὲ τὸ ἀριθμητόν, ὅ τι περ ἂν
10 ἦι, τῶι συναριθμουμένωι παρατιθέμενον κατὰ τὴν πηλικότητα πλεονάζοι τῶι ὄγκωι παρὰ τὸ ἔλαττον, ἓν καὶ τὸ ἐλαττούμενον ἔσται, κἂν ἐλλείποι τὸ μέγεθος. ὅταν μὲν οὖν ἰσομεγέθη δύο τῶι ἀριθμῶι διαλάβωμεν, δύο τέλεια λέγομεν· ὅταν δὲ τῶι τελείωι τὸ λεῖπον συναριθμήσωμεν, δύο μὲν καὶ οὕτω φαμέν, ἀλλὰ τὸ μὲν ἐλλιπές, τὸ δὲ τέλειον. ὁ δὲ πολὺς οὗτος κατὰ τὴν ἀριθμητικὴν ἐπιστήμην εἰ μὲν τελείως ἑκάτερον κατὰ τὴν ἑαυτοῦ φύσιν ἔχει, δύο φησί λέγεσθαι
15 τὰ οὕτω λεγόμενα· εἰ δὲ τὸ μὲν ἐλλείποι, τὸ δὲ ἕτερον τέλειον εἴη, ἓν ἀμφότερα γίνεσθαι, οὐκ οἶδ' ὅπως τὸ ἀτελὲς συναλείφων τῶι περιττεύοντι καὶ διὰ τῶν ἐναντίων ἐπινοῶν τοῖς ἀσυμβάτοις τὴν ἕνωσιν. τέλειον γὰρ τελείωι καὶ ἀτελὲς ἀτελεῖ μᾶλλον ἁρμόζεται τῆι ὁμοιότητι· τῆς δὲ τοῦ ἐναντίου πρὸς τὸ ἐναντίον ἑνώσεως, τοῦ ἀτελοῦς φημὶ πρὸς τὸ τέλειον, λεγέτω τὸν τρόπον ὁ τῆς
19 κοινῆς ταύτης ἀριθμητικῆς νομοθέτης.

frg. 76 Lietzm. ἀλλ' οὐχ ἡγεῖται πρέπειν ἀνθρώπινον νοῦν περὶ τὸν μονογενῆ θεὸν ἐννοεῖν καὶ τὴν αἰτίαν λέγει 190
ὅτι τρεπτὸς ὁ νοῦς ὁ ἀνθρώπινος. οὐκοῦν ὁ αὐτὸς λόγος μηδὲ τὴν σάρκα τῶι θεῶι συγχωρείτω· τὸ γὰρ τρεπτὴν αὐτὴν εἶναι οὐδὲ ὁ λογογράφος ἀντείποι ἀπὸ νεότητος μέχρι τελειώσεως ὥσπερ ἐνδύματα μετενδυομένην τὰς ἡλικίας. ἢ πῶς οὐκ ἦν τρεπτὸς ὁ πρότερον ἐπ' ὠλένης ὑπὸ τῆς μητρὸς κομιζόμενος, εἶτα ἐν παιδίοις, εἶτα ἐν μειρακίοις γενόμενος καὶ οὕτω κατ' ὀλίγον
25 προελθὼν εἰς τὸ τέλειον, ἕως εἰς τὸ μέτρον τῆς ἀνθρωπίνης ἡλικίας ἦλθεν; εἰ οὖν ὁ νοῦς διὰ τὸ τρεπτὸν ἀποβάλλεται, διὰ τὴν αὐτὴν αἰτίαν μηδὲ ἡ σὰρξ ὑπ' αὐτοῦ συγχωρείσθω. καὶ οὕτω ψευδὲς κατ' αὐτὸν δειχθήσεται τὸ εὐαγγέλιον ἅπαν καὶ κενὸν τὸ κήρυγμα καὶ ματαία ἡ πίστις. εἰ δὲ οὐκ ἀπιστεῖται τὸ ἐν σαρκὶ πεφανερῶσθαι καὶ ταύτηι τρεπτῆι, οὐδὲ τὸν νοῦν πάντως διὰ τὴν αὐτὴν αἰτίαν ἀπόβλητον ἕξει, ἀλλ' ὥσπερ ἐν σαρκὶ γενόμενος οὐκ ἐμολύνθη,
30 οὕτως οὐδὲ τὸν νοῦν παραδεξάμενος εἰς τροπὴν ἠλλοιώθη.

πάλιν δὲ τὸν αὐτὸν ἀναλήψομαι λόγον ἐκθέμενος τὴν ῥῆσιν αὐτοῦ ἐπὶ λέξεως 191

frg. 76 Lietzm. οὐκ ἄρα, φησί, σώιζεται τὸ ἀνθρώπινον γένος δι' ἀναλήψεως νοῦ καὶ ὅλου ἀνθρώπου, ἀλλὰ δι' ἀναλήψεως σαρκός, ἧι φυσικὸν μὲν τὸ ἡγεμονεύεσθαι, ἐδεῖτο δὲ ἀτρέπτου νοῦ μὴ ὑποπίπτοντος αὐτῆι δι' ἀνεπιστημοσύνης ἀσθένειαν, ἀλλὰ συναρμόζοντος αὐτὴν ἀβιάστως ἑαυτῶι. τίς οὐκ
35 οἶδεν ὅτι τὸ δεόμενον τοῦ ἀνενδεοῦς ἕτερον τῆι φύσει πάντως ἐστὶ καὶ τὸ πεφυκὸς ἡγεμονεύεσθαι τοῦ ἐν τῆι φύσει τὸ ἄρχειν ἔχοντος ὁμοίως κατὰ τὸν λόγον τῆς οὐσίας παρήλλακται, ὡς ἡ τῶν ἀλόγων φύσις ὑποχειρίως ἔχειν τῆι τῶν ἀνθρώπων κατεσκευάσθη καὶ ὁ ἄνθρωπος οὐκ ἐπίκτητον τὴν κατὰ τῶν ἀλόγων ἀρχήν, ἀλλ' οἰκείαν ἔχει. εἰ οὖν φυσικὸν τῆι σαρκὶ τὸ ἡγεμονεύεσθαι, καθώς φησιν ὁ Ἀπολινάριος, ἡγεμονικὸν δὲ τῆι φύσει τὸ θεῖον, πῶς ὁ ταῦτα διδοὺς ἓν ἐξ ἀρχῆς εἶναι τὰ
40 ἀμφότερα τῆι φύσει διορίζεται πᾶσιν ὄντος προδήλου ὅτι ἕτερος τοῦ ὑποχειρίου καὶ ἄλλος τοῦ ἐπιστατοῦντος ὁ λόγος καὶ ἄλλο τὸ πεφυκὸς ὁδηγεῖσθαι καὶ ἕτερον πάλιν ὧι φύσις τὸ ἡγεμονεύειν

C

5 Πρὸς ἃ — p. 41, 2 δύο φύσεις εἰσίν om. Mai 27 καινὸν C 33 ἧι] εἰ C

ἐστίν; εἰ οὖν ἐν τοῖς ἐναντίοις ἰδιώμασιν ἡ ἑκατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκὸς λέγω καὶ τῆς θεότητος, πῶς μία αἱ δύο φύσεις εἰσίν;

192 Ἐκ τῶν εἰρημένων τοίνυν σαφὲς καθέστηκεν ὅτι ὅπου ἕνωσις διαφόρων νοεῖται πραγ- 1141
μάτων, ἐκεῖ πάντως καὶ ὁ ἀριθμὸς τῶν ἑνωθέντων γνωρίζεται· ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ
ἀεὶ τῇι ἑαυτῶν δυσσεβείαι προσεπινοοῦντες τὰ χείρονα οὐ μόνον περὶ τὴν οἰκονομίαν τοῦ ἑνὸς 5
τῆς ἁγίας τριάδος ἁμαρτάνουσιν, ἀλλὰ καὶ περὶ αὐτὴν βλασφημοῦσιν τὴν ὁμοούσιον τριάδα.
καὶ τοῦτο γὰρ λέγειν Σευῆρος ἐτόλμησεν ὅτι ὁ τρισάγιος ὕμνος εἰς μόνον ἀναφέρεται
τὸν υἱὸν μὴ κοινωνούντων τῇι δοξολογίαι τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος. τοῦτο δὲ
οὐδὲν ἕτερόν ἐστιν ἢ κατὰ τὴν Ἀρείου μανίαν χωρίζειν τὸν υἱὸν τῆς οὐσίας τοῦ πατρὸς καὶ
ἁγίου πνεύματος, καὶ ἑτεροούσιον αὐτὸν εἰσάγειν ἢ εἰ μὴ τοῦτο, ἀλλὰ κατὰ τὴν Νεστορίου βλα- 10
σφημίαν μὴ ὁμολογεῖν τὸν Χριστὸν θεὸν εἶναι καὶ ἕνα τῆς ἁγίας τριάδος, ἀλλὰ τετάρτωι τινὶ
προσώπωι κατὰ τὴν ἐκείνων ἄνοιαν τὸν τοιοῦτον ἀναπέμπειν ὕμνον. καὶ ὧι νομίζουσι τιμᾶν
τὸν υἱόν, ἀγνοοῦσιν αὐτὸν ἀτιμάζοντες τῶι χωρίζειν αὐτὸν τοῦ συμπροσκυνεῖσθαι τῶι πατρὶ καὶ
τῶι ἁγίωι πνεύματι. ταῦτα δὲ λέγοντες οὔτε ἑαυτοῖς γοῦν ἀκολουθεῖν ἐγνώκασιν· τρίτον
γὰρ λεγομένου τοῦ ὕμνου ἐπάγομεν εὐθύς· δόξα πατρὶ καὶ υἱῶι καὶ ἁγίωι πνεύματι. τί δὲ 15
λέγομεν ὅτι ἑαυτοῖς ἀπειθοῦσιν; ὁπότε οὐδὲ τὰ σεραφὶμ ἐντρέπονται διὰ τῆς τρισαγίας φωνῆς τῇι
ἁγίαι τριάδι τὴν δοξολογίαν προσάγοντα, καθὼς τὰ περὶ τούτου καὶ οἱ ἅγιοι ἡμῖν πατέρες παραδε-
δώκασιν. Ἀθανάσιος μὲν γὰρ ἐν τῶι λόγωι τῶι εἰς τὸ ἅγιον πνεῦμα κατὰ Ἀρειανῶν λέγει τάδε de incarn. et c. Arian. 10 [PG 26, 1000]

193 Καὶ ὅτε δοξολογοῦσι τὰ χερουβὶμ λέγοντα ἅγιος ἅγιος ἅγιος κύριος σαβαώθ, πατέρα Ies. 6, 3
καὶ υἱὸν καὶ ἅγιον πνεῦμα δοξολογοῦσιν. διὰ τοῦτο ὥσπερ εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ 20
βαπτιζόμεθα, οὕτως καὶ εἰς τὸ ὄνομα τοῦ ἁγίου πνεύματος καὶ γινόμεθα υἱοὶ θεοῦ, οὐ θεῶν·
πατὴρ γὰρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα <κύριος> σαβαώθ ἐστιν. μία γὰρ ἡ θεότης καὶ εἷς θεός.
καὶ διὰ τοῦτο, ὅπερ εἶπεν ὁ πατὴρ ἐν τῶι Ἡσαίαι, ὁ Ἰωάννης λέγει ὅτι ὁ υἱὸς εἶπεν, ἐν Ioh. 12, 41
δὲ ταῖς Πράξεσιν ὁ Παῦλος λέγει ὅτι τὸ πνεῦμα τὸ ἅγιον εἶπεν. Act. 28, 25

194 Γρηγόριος δὲ ὁ θεολόγος ἐν τοῖς τοῦ Χριστοῦ γενεθλίοις λέγει· οὕτω μὲν οὖν τὰ ἅγια τῶν or. 38 [PG 36, 320]
ἁγίων, ἃ καὶ τοῖς σεραφὶμ συγκαλύπτεται καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς, εἰς μίαν συνιοῦσι κυ- 26
ριότητα καὶ θεότητα, ὅπερ καὶ ἄλλωι τινὶ τῶν πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τι καὶ ὑψη-
λότατα.

195 Ὁ δὲ μέγας Βασίλειος ἐν τῶι περὶ τοῦ ἁγίου πνεύματος λόγωι διδάσκει τάδε· τὸ πνεῦμα τὸ adu. Eunom. 3, 3 [PG 29, 661]
ἅγιον πηγὴ ἁγιασμοῦ καὶ ὥσπερ φύσει ἅγιος ὁ πατὴρ καὶ φύσει ἅγιος ὁ υἱός, οὕτω φύσει ἅγιον 30
καὶ τὸ πνεῦμα τὸ τῆς ἀληθείας. δι' ὃ καὶ ἐξαιρέτου καὶ ἰδιαζούσης τῆς τοῦ ἁγίου προσηγορίας
ἠξίωται. εἰ οὖν φύσις αὐτῶι ὁ ἁγιασμός ἐστιν ὥσπερ πατρὶ καὶ υἱῶι, πῶς τρίτης ἐστὶν καὶ
ἀλλοτρίας φύσεως; διὰ τοῦτο γὰρ ἅμα καὶ παρὰ τῶι Ἡσαίαι τὰ σεραφὶμ τρίτον ἐκβοῶντα τὸ Ies. 6, 3
ἅγιος ἀναγέγραπται, ὅτι ἐν τρισὶ ταῖς ὑποστάσεσιν ὁ κατὰ φύσιν ἁγιασμὸς θεωρεῖται.

196 Καὶ ὁ ἐν ἁγίοις δὲ Ἰωάννης ὁ Κωνσταντινουπόλεως ἐπίσκοπος ἑρμηνεύων τὴν Ἡσαίου προ- t. VI 67 Montf.
φητείαν λέγει τάδε· διηνεκῶς τὰ σεραφὶμ περὶ τὸν θεόν εἰσιν καὶ παρ' αὐτὸν καὶ οὐκ ἀφίστανται, 36
ἀλλ' αὕτη αὐτοῖς ἡ πολιτεία τὸ διηνεκῶς εἰς αὐτὸν ἄιδειν, τὸ διὰ πάντων εὐφημεῖν τὸν ποιήσαντα.
οὐ γὰρ εἶπεν ἔκραξαν, ἀλλ' ἐκέκραγον, τουτέστιν διηνεκῶς τοῦτο <ἔργον> ἔχουσιν, ἕτερος Ies. 6, 3
πρὸς τὸν ἕτερον καὶ ἔλεγον ἅγιος ἅγιος ἅγιος κύριος σαβαώθ. τοῦτο τὴν παναρ-
μόνιον αὐτῶν συμφωνίαν δηλοῖ καὶ τὴν μετὰ πολλῆς ὁμονοίας εὐφημίαν. οὗτος ὁ ὕμνος οὐκ 40

---

18 Ἀθανάσιος — p. 42, 10 σεραφὶμ om. Mai C

22 κύριος suppleui ex Athanasio, om. C 38 ἔργον addidi ex Iohanne, om. C

εὐφημία μόνον ἐστίν, ἀλλὰ καὶ προφητεία τῶν καταληψομένων τὴν οἰκουμένην ἀγαθῶν καὶ δογμάτων ἀκρίβεια. τίνος δὲ ἕνεκεν οὐκ εἶπον ἅπαξ καὶ ἐσίγησαν, οὐδὲ δεύτερον καὶ ἔστησαν, ἀλλὰ τρίτον προσέθηκαν; οὐκ εὔδηλον ὅτι τῇ τριάδι τὸν ὕμνον ἀναφέροντα τοῦτο ἐποίουν;

PG 70, 169 Ies. 6, 3 Ἔτι μὴν καὶ ὁ ἐν ἁγίοις Κύριλλος τὴν τοιαύτην Ἡσαίου προφητείαν ἑρμηνεύων ἐν τῷ τετάρτῳ λόγῳ τοῦ πρώτου βιβλίου αὐτοῦ λέγει τάδε· ἅγιος ἅγιος ἅγιος κύριος σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· τρὶς δὲ τὸ ἅγιος λέγοντες κατακλείουσι τὴν δοξολογίαν εἰς τὸ κύριος σαβαώθ ἐν μιᾷ θεότητος φύσει τὴν ἁγίαν τιθέντες τριάδα. ὑφεστάναι μὲν γὰρ ὁμολογουμένως φαμὲν τὸν πατέρα, οὕτω δὲ καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ λόγος οὐδεὶς διατέμνει πρὸς ἑτερότητα φυσικὴν τῶν ὠνομασμένων ἕκαστον, ἀλλ' ἐν ὑποστάσεσι τρισὶ νοεῖται μία θεότης καὶ δι' αὐτῶν ἡμῖν τοῦτο μεμαρτύρηται τῶν ἁγίων σεραφίμ. **197**

1141 Ταῦτα τοίνυν πρὸς ἀναίρεσιν τῆς τῶν αἱρετικῶν βλασφημίας οἱ πατέρες ἐκθέμενοι τὴν ὀρθὴν τῆς ἐκκλησίας παραδεδώκασιν ὁμολογίαν, διδάξαντες ἡμᾶς μίαν θεότητα, μίαν δύναμιν, μίαν οὐσίαν τῆς ἁγίας ὁμολογεῖν τριάδος καὶ τὴν αὐτὴν προσφέρειν δοξολογίαν τε καὶ προσκύνησιν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, ὁμολογεῖν δὲ τὸ ἓν πρόσωπον τὸ ἐκ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, θεὸν ἀληθῆ καὶ ἄνθρωπον ἀληθῆ, τὸν αὐτὸν ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα καὶ οὔτε κατὰ τὴν αὐτὴν οὐσίαν ὁμοούσιον αὐτὸν εἶναι τῷ πατρὶ καθ' ἣν ἡμῖν, οὔτε ἡμῖν καθ' ἣν τῷ πατρί. ἀδύνατον γὰρ μίαν οὐσίαν εἴτ' οὖν φύσιν ὁμοούσιον εἶναι θεῷ καὶ ἀνθρώποις, ἀλλ' ἐν μιᾷ ὑποστάσει αἱ δύο φύσεις γνωριζόμεναι ἡ μὲν πρὸς τὸν πατέρα τὴν κοινότητα ἔχει, ἡ δὲ πρὸς ἡμᾶς. ὥστε δὲ σαφῶς ὑμᾶς ἐπιγνῶναι τὴν ὁμολογίαν ἣν ἀκολουθοῦντες τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίαι φυλάττομεν, ταύτην ἐν κεφαλαίοις συντόμως ἐκθέμενοι ὑμῖν τε καὶ δι' ὑμῶν τοῖς τὸν μονήρη βίον κατὰ τὴν Ἀλεξανδρέων καὶ περὶ αὐτὴν ἑλομένοις δήλην καθιστῶμεν. **198**

1144 Ā Εἴ τις οὐχ ὁμολογεῖ τῆς ἁγίας τριάδος μίαν οὐσίαν, τουτέστιν φύσιν καὶ θεότητα, ἐν τρισὶν ὑποστάσεσιν εἴτ' οὖν προσώποις, ὅπερ ἐστὶν ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, προσκυνεῖσθαι, ἀνάθεμα ἔστω. **199**

B̄ Εἴ τις λέγει τὸν θεὸν λόγον ἢ τὸ πνεῦμα τὸ ἅγιον κτίσμα εἶναι ἢ ἑτέρας οὐσίας παρὰ τὴν τοῦ πατρός, ἀνάθεμα ἔστω.

Γ̄ Εἴ τις τὸν αὐτὸν λέγει πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἓν πρόσωπον πολυώνυμον ὑποτιθέμενος καὶ μίαν ὑπόστασιν ὑπὸ τριῶν κλήσεων ἐκφωνουμένην, τὸν τοιοῦτον ἐν τῇ μερίδι τῶν Ἰουδαίων τάσσομεν καὶ ἀναθεματίζομεν.

Δ̄ Εἴ τις μὴ ὁμολογεῖ τοῦ ἑνὸς προσώπου τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὰς δύο γεννήσεις ὑπάρχειν, τήν τε πρὸ αἰώνων ἐκ τοῦ πατρὸς κατὰ τὴν θεότητα καὶ τὴν ἐπ' ἐσχάτου τῶν ἡμερῶν τοῦ αὐτοῦ ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας κατὰ τὴν ἀνθρωπότητα, καὶ αὐτὸν εἶναι ἕνα τῆς ἁγίας τριάδος, τουτέστιν μίαν ὑπόστασιν ἐκ τῶν τριῶν ὑποστάσεων, ἀνάθεμα ἔστω.

Ē Εἴ τις οὐχ ὁμολογεῖ θεοτόκον τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν, ἀνάθεμα ἔστω.

S̄ Εἴ τις εἰσάγει δύο υἱούς, ἕνα μὲν τὸν ἐκ θεοῦ καὶ πατρός, ἕτερον δὲ τὸν ἐκ τῆς μητρός, ἢ καὶ ὡς ἄνθρωπον ἐνεργεῖσθαι λέγει τὸν Ἰησοῦν καὶ τὴν τοῦ μονογενοῦς εὐδοξίαν περιῆφθαι ὡς ἑτέρῳ παρ' αὐτὸν ὑπάρχοντι, καθάπερ Παῦλος ὁ Σαμοσατεὺς καὶ Νεστόριος βλασφημοῦσιν,

---

C

18 ἤτουν C

ἀλλ' οὐχ ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖ υἱὸν μονογενῆ θεὸν λόγον κύριον Ἰησοῦν Χριστόν, ὁ τοιοῦτος παρὰ πάντων Χριστιανῶν ἀναθεματιζέσθω.

Ζ Εἴ τις ὡς διὰ σωλῆνος τῆς παρθένου διαδραμεῖν, ἀλλὰ μὴ ἐν αὐτῇ διαπεπλάσθαι λέγει θεικῶς τε ἅμα καὶ ἀνθρωπίνως, θεικῶς μὲν ὅτι χωρὶς ἀνδρός, ἀνθρωπίνως δὲ ὅτι νόμωι κυήσεως, ὁμοίως ἄθεος.

Η Εἴ τις προσώποις δυσὶν ἤτοι ὑποστάσεσιν τὰς ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς συγγράμμασιν διανέμει φωνὰς ἢ ἐπὶ Χριστῶι παρὰ τῶν ἁγίων λεγομένας ἢ παρ' αὐτοῦ περὶ ἑαυτοῦ, ἀνάθεμα ἔστω.

Θ Εἴ τις οὐχ ὁμολογεῖ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ μίαν εἶναι τὴν ὑπόστασιν ἤτοι ἓν πρόσωπον, ἀνάθεμα ἔστω.

Ι Εἴ τις δύο φύσεις τοῦ μονογενοῦς λέγει πρὸ τῆς ἑνώσεως, μίαν δὲ μετὰ τὴν ἕνωσιν τῆς θεότητος καὶ τῆς σαρκὸς αὐτοῦ φύσιν ἀναπλάττει, ἀνάθεμα ἔστω.

ΙΑ Εἴ τις οὐχ ὁμολογεῖ τὰς δύο φύσεις τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος εἰς μίαν ὑπόστασιν συνδραμεῖν ἕνα τε τὸν Χριστὸν ἀποτελέσαι καὶ ἐν ἀμφοτέραις ταῖς φύσεσιν ἀσυγχύτοις καὶ ἀδιαιρέτοις αὐτὸν γνωρίζεσθαι, καθ' ὃ τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι τὸν αὐτὸν ὁμολογοῦμεν καὶ ἑνὸς καὶ τοῦ αὐτοῦ τὰ θαύματα καὶ τὰ πάθη εἶναι πιστεύομεν, ἀνάθεμα ἔστω.

200 Ταῦτά ἐστιν ἃ παρὰ τῆς θείας γραφῆς ἐδιδάχθημεν, ταῦτα τῆς καθολικῆς ἐκκλησίας τὰ δόγματα, αὗται τῶν πατέρων αἱ παραδόσεις τῶν τε κατὰ καιρὸν ἐν τῇι ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι διαπρεψάντων καὶ τῶν ἐν ταῖς ἁγίαις τέτρασιν γενομένων συνόδοις τῶν τριακοσίων δέκα καὶ ὀκτὼ τῶν ἐν Νικαίαι καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν Κωνσταντινοπόλει καὶ τῶν ἐν Ἐφέσωι κατὰ πρώτην τάξιν συνειλεγμένων διακοσίων καὶ τῶν ἐν Χαλκηδόνι ἑξακοσίων τριάκοντα, οἵτινες νόμος ὄντες τῆς ἐκκλησίας τοὺς κατὰ καιρὸν ἀναφυέντας αἱρετικοὺς καὶ τὰ ἐκείνων μυσερὰ δόγματα τῆι τοῦ ἁγίου πνεύματος συνεργείαι τῆς ἐκκλησίας ἐξέβαλον. οἱ δὲ τῆς εὐσεβείας ἐχθροὶ τὴν ἐπισπορὰν τῶν ζιζανίων τοῦ διαβόλου κατέχοντες καὶ τοῖς ἀγαθοῖς σπέρμασιν ἀκολουθεῖν μὴ βουλόμενοι, ἀεὶ δὲ προφάσεις ἐν ἁμαρτίαις προφασιζόμενοι, παντὸς ἀποροῦντες λόγου εἰς τοῦτο καταφεύγουσιν τὸ λέγειν πατροπαράδοτον ἔχειν διδασκαλίαν καὶ ταύτην ἀπολιπεῖν μὴ δύνασθαι, πατέρας ἔχοντες οἱ μὲν ἀπὸ Νεστορίου Παῦλόν τε καὶ Φωτεινὸν καὶ Μάρκελλον καὶ τοὺς τὰ ἐκείνων φρονήσαντας, οἱ δὲ Ἀκέφαλοι Εὐτυχέα τε καὶ Διόσκορον καὶ Τιμόθεον τὸν Αἴλουρον καὶ τοὺς τὰ ἐκείνων φρονήσαντας, οἳ τῆι Ἀπολιναρίου καὶ Μανιχαίου καὶ Βαλεντίνου μανίαι ἠκολουθηκότες ἐδείχθησαν. οἱ οὖν ταῦτα λέγοντες πῶς Ἰουδαίους τε καὶ Ἕλληνας πρὸς Χριστιανισμὸν ὁδηγήσουσι τὰ παραπλήσια τούτοις προβαλλόμενοι καὶ λέγοντες οὐ μόνον πατροπαράδοτον, ἀλλὰ καὶ πολλῶι τούτων παλαιοτέραν κεκτῆσθαι τὴν ἀσέβειαν; ὅθεν προτρέπομεν τὴν ὑμετέραν θεοφίλειαν διαμαρτύρασθαι πάντα ἄνθρωπον φοβούμενον τὸν κύριον καὶ κρίσιν θεοῦ ἀναμένοντα διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθαι, ἀλλὰ διδασκομένους τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν προστρέχειν τῆι ἁγίαι τοῦ θεοῦ καθολικῆι καὶ ἀποστολικῆι ἐκκλησίαι, ἐν ἧι συμφώνως κατὰ πᾶσαν τὴν οἰκουμένην παρὰ τῶν τοῦ θεοῦ ἱερέων ἡ ἀποστολικὴ διδασκαλία κηρύττεται.

II

IVSTINIANS SCHREIBEN GEGEN DIE DREI CAPITEL

M = Florenz, Laurentian. VII 1

Ἴσον ἐπιστολῆς ἀντιγραφείσης παρὰ τοῦ εὐσεβεστάτου καὶ Χριστιανικωτάτου βασιλέως Ἰουστινιάνου πρός τινας γράψαντας καὶ ἐκδικήσαντας Θεόδωρον τὸν δυσσεβῆ καὶ τὰ αὐτοῦ πονηρὰ δόγματα καὶ τὴν λεγομένην Ἴβα ἐπιστολὴν καὶ τὰ συγγράμματα Θεοδωρήτου τὰ κατὰ τῆς ὀρθῆς πίστεως γεγραμμένα

PG 86, 1041
1043

1 Γράμματα ὑμῶν ἐδεξάμεθα, ἅπερ ἀναγνόντες ἐθαυμάσαμεν ὑμᾶς μὴ ἐννοήσαντας τὴν τοῦ κυρίου διδασκαλίαν λέγοντος μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, ἀλλ' εἰς τοσοῦτον ὑπερηφανίας ἀρθέντας, ὡς πάντας τοὺς ἱερεῖς τῆς τοῦ θεοῦ ἐκκλησίας ἐξουδενῶσαι καὶ μόνους ὑμᾶς αὐτοὺς ἐκ πάντων δικαιῶσαι, καθάπερ ἐκεῖνος ὁ Φαρισαῖος ὃς οὐδὲ τὸν τελώνην κατακρίνας ἐδικαιώθη. καὶ ἐν ὅσωι ἠλπίζομεν ὑμᾶς ὅμοια τοῖς λοιποῖς ἱερεῦσι φρονεῖν, ἠύρομεν παρ' ἐλπίδας ἐκεῖνα ὑμᾶς ἐκδικοῦντας τὰ καὶ τῶι θεῶι καὶ τῇι ὀρθῆι πίστει ἐναντιούμενα. καὶ ὅμως τοιαύτην ἀσέβειαν ἐκδικοῦντες ἴσους ὑμᾶς αὐτοὺς εἶναι τοῖς ἀποστόλοις ὑπελάβετε λέγοντες μὴ ὀφείλειν τινὰ ὡς ἀγροίκους ὑμᾶς ὀνειδίζειν, ἐπειδὴ καὶ ὁ θεὸς ἀγροίκοις προσέταξεν κηρύττειν τὸ εὐαγγέλιον. καὶ ἡμεῖς μὲν εἰ καὶ ἀγροίκους, ὡς λέγετε, ὑμᾶς ἐκαλέσαμεν, διὰ τοῦτο οὕτως εἴπομεν, ἐπειδὴ ἀγνοοῦντες τὴν ἐκκλησιαστικὴν τάξιν τε καὶ παράδοσιν καὶ τὴν ὀρθόδοξον πίστιν τοιαύτην ἀσέβειαν ἐκδικεῖτε, τοὺς ἀποστόλους δέ, οὓς ὑμεῖς ἀγροίκους καλεῖτε, ὁ θεὸς ἐπελέξατο ἑαυτῶι καὶ τοῦ ἰδίου πνεύματος καὶ χάριτος καὶ σοφίας ἐπλήρωσε καὶ οὕτως αὐτοὺς ἀπέστειλεν, ἵνα τὰ ἔθνη τὰ τὸν θεὸν ἀγνοοῦντα πρὸς τὴν τῆς ἀληθείας ὁδὸν ὁδηγήσωσιν, ὅθεν καὶ αὐτοῖς μόνοις τοῖς ἀποστόλοις εἶπεν ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου. φανεροὶ τοίνυν ἐστέ, καθάπερ ὁ ἀπόστολος εἶπεν, μὴ νοοῦντες μήτε ἃ λέγετε, μήτε περὶ τίνων διαβεβαιοῦσθε, ὅτι ἐτολμήσατε καὶ τοῖς ἀποστόλοις ἑαυτοὺς ἐξισῶσαι καὶ τοὺς πατριάρχας καὶ πάντας τοὺς ἱερεῖς ἐνυβρίσαι. τοσοῦτον δὲ τὴν ἐκκλησιαστικὴν κατάστασιν οὐκ ἐφυλάξατε, ὅτι τὸ ἐν μηδενὶ χρόνωι γενόμενον ὑπὸ Χριστιανῶν ἐτολμήσατε ποιῆσαι. πάντων γὰρ τῶν μακαριωτάτων πατριαρχῶν τὴν πρὸς ἀλλήλους ἕνωσιν ἐχόντων οὐδεὶς ἑαυτὸν τῆς καθολικῆς ἐκκλησίας ἐχώρισεν, εἰ μὴ φανερῶς αἱρετικῆι μανίαι κατείχετο, ὅπερ ὑμεῖς ἐπὶ τοῦ παρόντος ποιεῖν ἐσπουδάσατε. ἀλλ' εἰ καὶ τοῦτο γέγονεν παρ' ὑμῶν, ὅμως ἡμεῖς οὐ παυόμεθα πᾶν ὁτιοῦν πρὸς ἐπανόρθωσιν ὑμετέραν καὶ ποιοῦντες καὶ γράφοντες. ἐπειδὴ τοίνυν ἐγράψατε λέγοντες διὰ τοῦτο ἡμᾶς σπουδὴν ποιήσασθαι τὰ τρία ταῦτα κεφάλαια καταδικασθῆναι, τουτέστι Θεόδωρον μετὰ τῶν οἰκείων συγγραμμάτων καὶ τὴν λεγομένην Ἴβα ἐπιστολὴν καὶ τὰ Θεοδωρήτου συγγράμματα, ἵνα τὸ θέλημα πληρωθῆι τῶν ἀπὸ τῆς καθολικῆς ἐκκλησίας ἑαυτοὺς χωρισάντων, γινώσκετε ὅτι ἡμεῖς οὐ δι' ἐκείνους ἐποιήσαμεν τοῦτο, ἀλλὰ πρῶτον μὲν διὰ τὴν ἀσέβειαν τῶν προειρημένων κεφαλαίων, ἔπειτα δὲ ὅτι τινὲς τὸ Νεστορίου ὄνομα σιωπᾶν προσποιούμενοι διὰ τῶν προειρημένων κεφαλαίων αὐτὸν Νεστόριον καὶ τὴν κακοδοξίαν αὐτοῦ εἰσαγαγεῖν ἐπεχείρουν τὴν ἀσέβειαν τῶν κεφαλαίων τούτων τῇι καθολικῆι ἐκκλησίαι προσάπτοντες, διὰ τοῦτο ἡμεῖς, εἰ καὶ φανερὰ ἦν ἡ τῶν αὐτῶν κεφαλαίων ἀσέβεια, ὅμως ἠρωτήσαμεν τοὺς ἱερεῖς τῆς τοῦ θεοῦ ἐκκλησίας τί περὶ τούτων φρονοῦσιν. οἵτινες δεῖξαι βουλόμενοι ὅτι τὴν τοιαύτην ἀσέβειαν ἡ καθολικὴ ἐκκλησία οὐδὲ ἔσχε ποτὲ οὐδὲ ἔχει, κατεδίκασαν καὶ αὐτοὶ τὴν τοιαύτην δυσσέβειαν ἐξ ἀρχῆς ὑπὸ τῶν ἁγίων πατέρων καταδεδικασμένην. οὐδὲ γὰρ οἱ τῆς καθολικῆς ἐκκλησίας κεχωρισμένοι περὶ τούτων τῶν κεφαλαίων λόγον τινὰ ποιοῦνται εἰδότες ὅτι ταῦτα οὐδεὶς δύναται Χριστιανοῦ

Mt. 11, 29
Lc. 18, 19
Mt. 5, 14
1 Tim. 1, 7
1045

M
7 ὑπερηφανείας M 9 ἠλπίζωμεν M 13 λέγεται M 15 ἐκδικεῖται M καλεῖται M

προσηγορίαν ἔχων ἐκδικεῖν, ἀλλὰ τῶι ὅρωι ἐναντιοῦνται τῆς ἁγίας ἐν Καλχηδόνι συνόδου τῶι περὶ τῆς πίστεως προενεχθέντι πρὸς κατάκρισιν Νεστορίου καὶ Εὐτυχοῦς καὶ τῆς αὐτῶν ἀπιστίας. οἱ γὰρ τοῖς ὀρθοῖς τῆς ἐκκλησίας ἐναντιούμενοι δόγμασιν ἐπιθυμοῦσιν μᾶλλον τὰ μνημονευθέντα ἀσεβῆ κεφάλαια ἐκδικεῖν τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, ἵνα διὰ ταύτης τῆς προφάσεως τοὺς ἁπλουστέρους ἀπατήσωσι καὶ τὸν Χριστιανὸν λαὸν τῆς ἐκκλησίας χωρίσωσιν.

Ἐπειδὴ δὲ ἐγράψατε δύο εἴδη τὴν ἀσεβῆ ἐκείνην περιέχειν ἐπιστολήν, ἓν μὲν ὅτι ὀρθῶς, ὡς 2
λέγετε, κατὰ Ἀπολιναρίου ἠγωνίσατο, ἕτερον δὲ ὅτι κἂν εἰ ἔδοξεν ὁ γράψας τὴν ἐπιστολὴν τὸν ἐν ἁγίοις Κύριλλον διασύρειν, ὅμως τοῦτον τὸν σπῖλον τῆς ὕβρεως ἐν τῶι τῆς ἐπιστολῆς ἀνέτρεψε τέλει, καὶ διὰ τοῦτο λέγετε ὀφείλειν τὴν αὐτὴν ἀσεβῆ ἐπιστολὴν ὀρθόδοξον κρίνεσθαι, δῆλοι καθεστήκατε ὅτι οὔτε τὸ ὕφος οὔτε τὴν δύναμιν ἔγνωτε τῆς αὐτῆς ἀσεβοῦς ἐπιστολῆς. κατὰ Ἀπολιναρίου γὰρ οὐδὲν περιέχει, ἀλλ' αὐτὸν τὸν ἐν ἁγίοις Κύριλλον Ἀπολιναριαστὴν καλεῖ, καὶ οὐδὲ ἐν τῶι τέλει ἡ αὐτὴ ἀσεβὴς ἐπιστολὴ ἀνέτρεψε τὰ κατὰ τοῦ αὐτοῦ ἐν ἁγίοις εἰρημένα Κυρίλλου. μᾶλλον μὲν οὖν τὰ χείρονα κατ' αὐτοῦ ἐν τοῖς τελευταίοις εἶπεν, προιόντες δὲ ὅμως καὶ πᾶσαν τὴν ἀσέβειαν τῆς λεγομένης Ἴβα ἐπιστολῆς καὶ τὴν ματαιότητα τῶν κεφαλαίων ὤνπερ ἐπέμψατε, ἀποδείξωμεν. πάντων γὰρ ἀναγνωσθέντων τῶν παρ' ὑμῶν γεγραμμένων σφόδρα ἐλυπήθημεν ὅτι εἰς τοιαύτην ἐνεπέσατε πλάνην ἄνθρωποι ἐξ ἐκείνης ὄντες τῆς χώρας ὅπου ἀεὶ πρὸ ὑμῶν ἡ ὀρθὴ πίστις ἀμώμητος ἐφυλάχθη. ὅθεν ἀναγκαῖον ἐνομίσαμεν εἶναι καὶ πρὸς τὰ ῥηθέντα ὑμῶν κεφάλαια ἀντιγράψαι καὶ παραινέσαι ὑμῖν ταύτης τῆς ἀσεβείας καὶ τοῦ ἀσεβοῦς ὑμῶν διδασκάλου ἀποστῆναι τοῦ τὰ προειρημένα κεφάλαια συγγραψαμένου. ἀπατῆσαι γὰρ θέλων ὑμᾶς ῥήματά τινα προήγαγεν ἐκ τῶν θείων γραφῶν, ἅτινα νοήσας κακῶς προσαρμόσαι ῥήμασί τισι τῆς προειρημένης ἀσεβοῦς ἐπιστολῆς ἐπεχείρησεν. ὅπερ οἱ αἱρετικοὶ πάντες ποιοῦσι ῥήματά τινα τῶν θείων γραφῶν παρερμηνεύοντες καὶ πρὸς τὴν διεστραμμένην ἑαυτῶν μεταφέροντες ἔννοιαν. καὶ δοκεῖ ἡμῖν ὁ ἀσεβὴς ὑμῶν διδάσκαλος ἢ μὴ ἀνεγνωκέναι τὴν ἀνώνυμον ἐκείνην
24 ἐπιστολὴν ἢ ἀνεγνωκέναι μέν, κακούργως δὲ ῥήματά τινα ταύτης προαγαγεῖν, τὰ πλείονα δὲ καὶ
Act. Conc. II 1 p. 391, 17–22 χείρονα σιωπῆσαι. λεγούσης γὰρ τῆς αὐτῆς ἐπιστολῆς περὶ τοῦ μακαρίου Κυρίλλου καὶ τοῦ ἀσεβοῦς Νεστορίου ὅτι ἑκάτεροι κατ' ἀλλήλων βλαβερούς λόγους ἔγραψαν καὶ ὅτι Νεστόριος μὲν ἔλεγεν τὴν μακαρίαν Μαρίαν μὴ εἶναι θεοτόκον, ὡς νομισθῆναι τοῖς πολλοῖς ἐκ τῆς Παύλου τοῦ Σαμοσατέως αἱρέσεως εἶναι, Κύριλλος δὲ βουλόμενος τοὺς Νεστορίου ἀνατρέψαι λόγους ὤλισθεν καὶ ἐνέπεσεν εἰς τὸ Ἀπολιναρίου δόγμα, φανερόν ἐστιν ὅτι ὁ γράψας τὴν ἐπιστολὴν τῆι Νεστορίου μανίαι
30 κεκρατημένος δείκνυται, ὃς αὐτὸν μὲν Νεστόριον ἀρνούμενον θεοτόκον εἶναι τὴν ἁγίαν παρθένον
1047 Μαρίαν μέχρι μόνης τῆς τινων ὑποψίας ἐληλυθέναι φησίν, οὐ μὴν αἱρετικὸν ἐκ τούτου φανῆναι· τὸν ἐν ἁγίοις δὲ Κύριλλον τὸν τῆς ἐκκλησίας διδάσκαλον εἰς τὸ Ἀπολιναρίου δόγμα ὀλισθῆσαι διισχυρίζεται καὶ πεσεῖν, διότι εἶπεν αὐτὸν τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι. καὶ ταῦτα μὲν τὰ ῥήματα παραλέλοιπεν, ὡς εἰρήκαμεν, ὁ διδάσκαλος ὑμῶν γινώσκων ὅτι ὁ λέγων τὸν
35 ἐν ἁγίοις Κύριλλον ὀλισθῆσαι καὶ πεσεῖν καὶ αἱρετικοὺς καλῶν τοὺς τούτου λόγους πᾶσαν κατα-
Act. Conc. II 1 p. 391, 23. 24 δικάζει τὴν ἐκκλησίαν τὴν πατέρα καὶ διδάσκαλον εἰκότως Κύριλλον ἔχουσαν. πῶς δὲ οὐκ ἔφριξε λέγων ὡς ὁ ἐν ἁγίοις Κύριλλος αἱρετικός ἐστιν, ἐπειδὴ εἶπεν ὅτι αὐτὸς ὁ θεὸς λόγος ἄνθρω-
38 πος γέγονε καὶ ὅτι οὕτω λέγων διαφορὰν τοῦ ναοῦ καὶ τοῦ ἐνοικοῦντος ἐν αὐτῶι οὐχ ὁμολογεῖ; διὰ τούτων γὰρ τῶν λόγων οὐ μόνον τὸν ἐν ἁγίοις Κύριλλον μέμφεται, ἀλλὰ καὶ τὸν εὐαγγελιστὴν
Ioh. 1, 14 τὸν λέγοντα ὅτι ὁ λόγος σὰρξ ἐγένετο καὶ πάντας τοὺς προφήτας τὴν διὰ σαρκὸς ἐπιδημίαν
Baruch 3, 36. 38 αὐτοῦ τοῦ θεοῦ λόγου κηρύξαντας καὶ μάλιστα Ἱερεμίαν τὸν λέγοντα οὗτος ὁ θεὸς ἡμῶν, οὐ

M
7 λέγεται M 9 λέγεται M 32 ὀλισθῆναι M 38 οὐκ M

λογισθήσεται ἕτερος πρὸς αὐτόν· μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη καὶ πάλιν Ἡσαΐαν λέγοντα τὸ παιδίον θεὸν ἰσχυρὸν καὶ πρὸς τούτοις τὸν ἀπόστολον Παῦλον λέγοντα ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. καὶ γάρ, ὡς ἐκεῖνος ὑμῶν ὁ διδάσκαλος παραφρονῶν λέγει, μέμψεώς εἰσιν ἄξιοι καὶ οἱ προφῆται καὶ οἱ εὐαγγελισταὶ καὶ οἱ ἀπόστολοι λέγοντες ὅτι αὐτὸς ὁ θεὸς λόγος ἐνηνθρώπησεν, ὡς διὰ τούτων τῶν ῥημάτων τροπὴν τῆς θεότητος εἰς τὴν ἀνθρωπότητα λέγοντες γεγενῆσθαι. οἱ δὲ αὐτὸν τὸν θεὸν λόγον ἐνανθρωπῆσαι μὴ ὁμολογοῦντες φανεροί εἰσι τὸν Χριστὸν ψιλὸν ἄνθρωπον εἶναι καὶ κατὰ χάριν υἱὸν θεοῦ ὀνομάζεσθαι λέγοντες, ὡς ἡ κακοδοξία Νεστορίου καὶ Θεοδώρου τοῦ διδασκάλου αὐτοῦ λέγει. αἱ γὰρ θεῖαι γραφαὶ καὶ οἱ ἅγιοι πατέρες ταύταις ἀκολουθοῦντες αὐτὸν τὸν θεὸν λόγον τὸν ἀόρατον τὸν ἀσώματον τὸ ἐκ τοῦ φωτὸς φῶς τὸν πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ πατρὸς γεννηθέντα αὐτὸν κατελθεῖν καὶ σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι λέγουσιν. καὶ ὁ μὲν ἐν ἁγίοις Γρηγόριος ἐν τῷ λόγῳ τῷ εἰς τὰ θεοφάνια οὕτω λέγει

Ies. 9, 6

Eph. 4, 10

3 Αὐτὸς ὁ τοῦ θεοῦ λόγος ὁ προαιώνιος ὁ ἀόρατος ὁ ἀπερίληπτος ὁ ἀσώματος ἡ ἐκ τῆς ἀρχῆς ἀρχὴ τὸ ἐκ τοῦ φωτὸς φῶς ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου ἡ μὴ κινουμένη σφραγὶς ἡ ἀπαράλλακτος εἰκὼν ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα καὶ ψυχῆι νοερᾶι διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται τῷι ὁμοίωι τὸ ὅμοιον ἀνακαθαίρων καὶ πάντα γίνεται πλὴν τῆς ἁμαρτίας ἄνθρωπος κυηθεὶς ἐκ τῆς παρθένου καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷι πνεύματι· ἔδει γὰρ καὶ γέννησιν τιμηθῆναι καὶ παρθενίαν προτιμηθῆναι.

or. 38 [PG 36, 325]

4 Τὰ παραπλήσια δὲ καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῷι περὶ τοῦ ἁγίου πνεύματος λόγωι κατὰ Ἀρειανῶν οὕτω λέγει

1049

Ὁ γεννηθεὶς ἄνωθεν ἐκ τοῦ πατρὸς ἀῤῥήτως ἀφράστως ἀκαταλήπτως ἀιδίως αὐτὸς ἐν χρόνωι γεννᾶται κάτωθεν ἐκ τῆς παρθένου Μαρίας.

de incarn. etc. Arian. 8 [PG 26, 996]

5 Καὶ πάλιν ὁ ἐν ἁγίοις Βασίλειος πρὸς Ἀμφιλόχιον γράφων ἐν τῷι ὀγδόωι κεφαλαίωι οὕτως εἶπεν

d. spir. s. 18 = Exc Eph. XV 26

Οὐ γὰρ τοσοῦτον οὐρανὸς καὶ γῆ καὶ τὰ μεγέθη τῶν πελαγῶν καὶ τὰ ἐν ὕδασι διαιτώμενα καὶ τὰ χερσαῖα τῶν ζώιων καὶ φυτὰ καὶ ἀστέρες καὶ ἀὴρ καὶ ὧραι καὶ ἡ ποικίλη τοῦ παντὸς διακόσμησις τὸ ὑπερέχον τῆς ἰσχύος συνίστησιν ὅσον τὸ δυνηθῆναι τὸν θεὸν τὸν ἀχώρητον ἀπαθῶς διὰ σαρκὸς συμπλακῆναι τῷι θανάτωι, ἵνα ἡμῖν τῷι ἰδίωι πάθει τὴν ἀπάθειαν χαρίσηται.

6 Ἀλλὰ καὶ ὁ ἐν ἁγίοις Αὐγουστῖνος ἐπίσκοπος ἐκ τῆς τῶν Ἄφρων χώρας ἐν τῇι περὶ τοῦ συμβόλου ἐκθέσει ταῦτα λέγει

PL 42, 1124

Εἰπὲ καὶ σύ, Ἀμβακοὺμ προφῆτα, μαρτυρίαν περὶ τοῦ Χριστοῦ. κύριε, φησὶν, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, ὁ θεός, καὶ ἐξέστην. ποῖα ἔργα τοῦ θεοῦ οὕτος θαυμάσας ἐξέστη; μήτι τὴν κτίσιν τοῦ κόσμου; μὴ γένοιτο· ἀλλ' ἄκουσον πρὸς τί ἐξέστη. ἐν μέσωι, φησί, δύο ζώιων γνωσθήσηι· τὰ ἔργα σου ὅτι σὺ ὁ θεὸς λόγος σάρξ ἐγένου· ἐν μέσωι δύο ζώιων γνωσθήσηι. τίς ὢν μέχρι τίνος κατέβης; ἐκστῆναί με πεποίηκας ὅτι ὁ λόγος δι' οὗ τὰ πάντα ἐγένετο, ἐν φάτνηι ἐτέθης.

Hab. 3, 1

l. c. 2

7 Τὰ ὅμοια δὲ καὶ ὁ ἐν ἁγίοις Λέων πάπας Ῥώμης ἐν τῇι πρὸς Φλαβιανὸν τὸν ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως ἐπιστολῇι οὕτως εἶπεν

M

16 ἀπαράλακτος M 38 φλαμινιανὼν M

Act. Conc. II 1 p. 14, 18. 19 Ὁ ἀπαθὴς θεὸς οὐκ ἀπηξίωσε παθητὸς εἶναι ἄνθρωπος καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου.

Καὶ ταῦτα μὲν αἵ τε θεῖαι γραφαὶ καὶ οἱ ἅγιοι πατέρες εἰρήκασιν· ὅσον δὲ πρὸς τοὺς ὑμετέρους 8
λόγους, κατηγορίας εἰσὶν ἄξιοι ὡς σύγχυσιν τῆς σαρκὸς καὶ τῆς θεότητος εἰσάγοντες, ἐπειδὴ
αὐτὸν τὸν θεὸν λόγον ἄνθρωπον γεγενῆσθαι εἰρήκασιν, ὁπότε καὶ τὸν ἐν ἁγίοις Κύριλλον λέγοντα
αὐτὸν τὸν θεὸν λόγον ἄνθρωπον γενέσθαι σύγχυσιν εἰσάγειν διὰ τούτων τῶν ῥημάτων εἰρήκατε.
ὅτι δὲ ὁ τὴν ἐπιστολὴν γράψας τῇι Θεοδώρου κατεχόμενος μανίαι ἠρνήσατο τὸν θεὸν λόγον ἄν-
θρωπον γεγονέναι, ἐξ αὐτῶν δείξωμεν τῶν κατὰ Ἀπολιναρίου τοῦ ἀσεβοῦς τῶι αὐτῶι αἱρετικῶι
Θεοδώρωι γραφέντων. ἐν γὰρ τῶι τετάρτωι λόγωι γράφει οὕτως

Δεδωκέναι σοί τινας τῶν ἡμετέρων εἶπας τὰ οὐκ ἄν ποτε δοθέντα παρὰ τινὸς τῶν τῆς ἐκκλη- 9
σιαστικῆς ἀντέχεσθαι δόξης ἐσπουδακότων. ἐπυνθανόμεθα γὰρ εἰ τὸν θεὸν λόγον ὁμολογοῦ-
σιν ἄνθρωπον γεγενῆσθαι. εἰπὼν ἐπήγαγες· ἐδίδοσαν. καὶ τίς ἂν ἔχων νοῦν ἄνθρωπον
εἴποι τὸν θεὸν γεγενῆσθαι λόγον, ὡς ὑμεῖς φατέ, εἰ μὴ ἄρα τὴν αὐτὴν ὑμῖν πρότερον νοσήσειεν
ἄνοιαν. ἡμεῖς γὰρ εἰληφέναι ἄνθρωπον τὸν θεὸν λόγον καὶ σφόδρα φαμέν, γεγενῆσθαι δὲ ἄν-
θρωπον καθ' ὑμᾶς οὐκ ἄν ποτε εἰπεῖν ἀνασχοίμεθα.

Ἀποδειχθέντος τοίνυν διὰ τῶν εἰρημένων Θεοδώρωι σύμφωνον εἶναι τὴν ἀσέβειαν τῆς ἐπιστο- 10
λῆς τῆι αἱρετικῆι ἐκείνου μανίαι, πῶς οὐ δικαίως πᾶς τὴν ἐλπίδα ἴσχων εἰς τὸν σαρκωθέντα καὶ
1051 ἐνανθρωπήσαντα θεὸν λόγον ὁμοίως καὶ Θεόδωρον καὶ τὴν εἰρημένην ἀσεβῆ ἐπιστολὴν κατα-
δικάσει; ἐπειδὴ δὲ ἐπαινεῖτε τὴν ἀσεβῆ ἐπιστολὴν περιέχουσαν ὅτι ὁ λέγων αὐτὸν τὸν θεὸν λόγον
σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι τὴν διαφορὰν ἀναιρεῖ τοῦ ναοῦ καὶ τοῦ ἐνοικοῦντος ἐν τῶι ναῶι,
γινώσκετε ὅτι διαφορὰν μὲν τῶν φύσεων ἐξ ὧν ὁ εἷς Χριστὸς ὁ κύριος καὶ θεὸς ἡμῶν συνετέθη,
ὀρθῶς ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία κηρύττει, διαφορὰν δὲ τοῦ ναοῦ καὶ τοῦ ἐνοικοῦντος ἐν αὐτῶι οὐδεὶς
τῶν ἁγίων πατέρων ἐδίδαξεν, ἀλλὰ μόνοι οἱ ἀσεβεῖς Νεστόριος καὶ Θεόδωρος εἰρήκασι δύο
ἐντεῦθεν πρόσωπα εἰσάγειν βουλόμενοι. κἂν γὰρ αἱ θεῖαι γραφαὶ καὶ οἱ ἅγιοι πατέρες τῆι
τοῦ ναοῦ ὀνομασίαι κέχρηνται, ἀλλὰ τὸ σῶμα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ σημαίνοντες τοῦτο
Ioh. 2, 21 λέγουσι, καθὼς εἶπεν ὁ εὐαγγελιστής, αὐτὸς δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ.
οὐδεὶς γὰρ τοῦ ἑνὸς προσώπου τοῦ Χριστοῦ διαφορὰν πρὸς ἑαυτὸ εἶναί φησιν, ὡς ἄλλον ἐν ἄλλωι
εἶναι, ἀλλὰ τῶν φύσεων μόνον ἐξ ὧν ὁ εἷς Χριστὸς ἀσυγχύτως καὶ ἀδιαιρέτως ἀπετελέσθη. καὶ
ὑμεῖς τοίνυν τὴν τῆς ἐπιστολῆς ἐκδικοῦντες ἀσέβειαν τῆς ἀρνουμένης αὐτὸν τὸν θεὸν λόγον ἄν-
θρωπον γεγενῆσθαι πρόδηλοι καθεστήκατε δύο πρόσωπα εἰσάγοντες καὶ ταῦτα νοοῦντες περὶ
τοῦ Χριστοῦ ὡς ψιλοῦ ἀνθρώπου ὅπερ ὁ ἀπόστολος εἶπεν διὰ τοὺς πιστοὺς ὅτι ὑμεῖς ναὸς θεοῦ
1 Cor. 3, 16 ἐστὲ καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν, ὡς κατὰ τὴν ὑμετέραν πλάνην μηδεμίαν εἶναι
διαφορὰν μεταξὺ ἡμῶν τῶν ἀνθρώπων καὶ τοῦ Χριστοῦ, καθ' ἃ καὶ αὐτὸς Θεόδωρος ὁ αἱρετικὸς
ὁ διδάσκαλος τοῦ γράψαντος τὴν ἐπιστολὴν ἐν τῶι τρίτωι κατὰ Ἀπολιναρίου λόγωι παραφρονῶν
ταῦτα ὡς ἐκ προσώπου τοῦ Χριστοῦ λέγει

Ἐγὼ μέν, ὃν ὁρᾶτε, δύναμαι μὲν ποιεῖν οὐδὲν κατὰ τὴν οἰκείαν φύσιν ἅτε ἄνθρωπος ὤν, 11
ἐργάζομαι δέ, ἐπειδὴ ἐν ἐμοὶ μένων ὁ πατὴρ ἅπαντα ποιεῖ. ἐπειδὴ γὰρ ἐγώ τε, φησίν, ἐν τῶι
Ioh. 14, 10 πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί, θεὸς δὲ λόγος ἐν ἐμοὶ ὁ τοῦ θεοῦ μονογενής, δῆλον ὅτι καὶ πατὴρ σὺν
αὐτῶι ἐν ἐμοί τε μένων καὶ τὰ ἔργα ποιῶν. καὶ θαυμαστόν γε οὐδὲν ἐπὶ τοῦ Χριστοῦ τοῦτο
νομίζειν, σαφῶς αὐτοῦ περὶ τῶν λοιπῶν λέγοντος ἀνθρώπων. ὁ ἀγαπῶν με τὸν λόγον μου

10–15 = Leont. 30 M 36 — p. 51, 5 = Conc. Const. coll. 4 ecl. 10 [L V 439. M VIIII 207]. Leont. 31

12 εἰπὼν M ἢ πῶς uel εἴ πως Leont. 24 ἐντεῦθε M

τηρήσει καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῶι ποιήσομεν. εἰ γὰρ παρ' ἑκάστωι τῶν τοιούτων ὅ τε πατὴρ καὶ ὁ υἱὸς τὴν μονὴν ποιοῦνται, τί θαυμαστὸν εἰ ἐν τῶι κατὰ σάρκα δεσπότηι Χριστῶι ἄμφω κατὰ ταυτὸν νομίζοιντο μένειν τῆς κατὰ τὴν οὐσίαν κοινωνίας προσιεμένης, ὡς εἰκός, καὶ τὴν τῆς μονῆς κοινωνίαν; Ioh. 14, 23

12 Τούτων τοίνυν οὕτω παρὰ τοῦ δυσσεβοῦς Θεοδώρου εἰρημένων, οὐ θαυμαστὸν εἴπερ ὁ ἐκπεσὼν τοῦ θεοῦ τῆι ἀσεβείαι συνεζευγμένην ἔχει καὶ μωρίαν, καθὼς περὶ τῶν ἀσεβῶν ὁ προφήτης Ἡσαίας λέγει ὁ μωρὸς μωρὰ λαλήσει καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει. ὁ γὰρ τὸν πατέρα καὶ τὸν υἱὸν οὕτω μένειν ἐν τῶι Χριστῶι καθὼς καὶ ἐν τοῖς λοιποῖς ἀνθρώποις διισχυριζόμενος καὶ μὴ ὁμολογῶν τὸν Χριστὸν εἶναι τὸν θεὸν λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα πῶς λέγει Χριστὸν κατὰ σάρκα; οἱ γὰρ ἅγιοι πατέρες ὁμολογοῦντες τὸν Χριστὸν εἶναι τὸν θεὸν λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, ὅταν τι περὶ αὐτοῦ ταπεινὸν λέγωσιν, ὀρθῶς ἐπάγουσι τὸ κατὰ σάρκα. Ies. 32, 6

13 Ἀλλ' εἰ καὶ προσῆκον ἦν τοὺς Θεόδωρον ἐκδικοῦντας καὶ ἐκ ταύτης αὐτοῦ τῆς καθ' ὑπερβολὴν βλασφημίας τὴν τούτου ἐκκλῖναι δυσσέβειαν, ἀλλ' οὖν διὰ τὴν τούτων ἀναίδειαν καὶ ἄλλας αὐτοῦ βλασφημίας προαγάγωμεν, δι' ὧν δύο εἰσάγει πρόσωπα. μεμφόμενος γὰρ τοὺς λέγοντας ὅτι ὁ θεὸς λόγος ὁ πρὸ αἰώνων γέγονεν ἐπ' ἐσχάτων ἄνθρωπος, οὕτω λέγει ἐν τῶι κατὰ Ἀπολιναρίου τετάρτωι λόγωι 1053

14 Ὁ πρὸ αἰώνων, φησίν, γέγονεν ἐπ' ἐσχάτων· πάλιν, ὥς τινων δεδωκότων, καὶ τοῦτο λέγων, οὐδενὸς ἂν τῶν εὐσεβεῖν ἐσπουδακότων ταύτην ἑλομένου νοσῆσαι τὴν ἄνοιαν, ὥστε τὸν πρὸ αἰώνων εἰπεῖν ἐπ' ἐσχάτων γεγενῆσθαι.

15 Καὶ μεθ' ἕτερα· Οὐκοῦν τοῖς ὑμετέροις ἑπόμενοι νόμοις καὶ τὴν ὑπὸ τῆς σῆς ἀγχινοίας νομοθετουμένην ἀντιστροφήν, μᾶλλον δὲ καταστροφὴν δεξάμενοι, φέρε δὴ πάντα εἰς ταυτὸν συγχέωμεν καὶ μηδεμία λοιπὸν ἔστω διάκρισις, μὴ θεοῦ μορφῆς μὴ δούλου μορφῆς, μὴ ναοῦ ληφθέντος μὴ τοῦ ἐνοικοῦντος ἐν τῶι ναῶι, μὴ τοῦ λυθέντος μὴ τοῦ ἐγείραντος, μὴ τοῦ τελειωθέντος ἐν πάθεσι μὴ τοῦ τελειώσαντος, μὴ τοῦ μνημονευθέντος μὴ τοῦ μνημονεύσαντος, μὴ τοῦ ἐπισκεφθέντος μὴ τοῦ ἐπισκεψαμένου, μὴ τοῦ βραχὺ παρ' ἀγγέλους ἐλαττωθέντος μὴ τοῦ ἐλαττώσαντος, μὴ τοῦ δόξηι καὶ τιμῆι στεφανωθέντος μὴ τοῦ στεφανώσαντος, μὴ τοῦ καταστάντος ἐπὶ τὰ ἔργα τῶν χειρῶν τοῦ θεοῦ μὴ τοῦ καταστήσαντος, μὴ τοῦ λαβόντος αὐτὰ ἐν ὑποταγῆι μὴ τοῦ δόντος τὴν ὑποταγήν. 24 Ioh. 2, 19 Hebr. 2, 10 Hebr. 2, 6 Hebr. 2, 9 Hebr. 2, 7 Hebr. 2, 8

16 Ἐκ τούτων τοίνυν τῶν ἀσεβῶν Θεοδώρου ῥημάτων καὶ τῆς οὕτως αὐτοῦ προφανοῦς βλασφημίας ἐρυθριάσωσιν οἱ ἀντιποιούμενοι αὐτοῦ τε καὶ τῆς ἀσεβοῦς ἐπιστολῆς. τὸ γὰρ ἀναιδῶς καὶ πολλάκις ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστὸν λέγειν αὐτὸν καὶ τὸν μὲν εὐεργετοῦντα, τὸν δὲ εὐεργετούμενον, καὶ τὸν μὲν σώσαντα, τὸν δὲ σωθέντα φανερῶς ἀρνεῖται τὴν διὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προσγενομένην ἡμῖν σωτηρίαν. ὁ γὰρ παρ' ἄλλου εὐεργεσίαν λαβὼν ἤτοι σωθεὶς ἑτέρους πῶς δύναται σώιζειν; οἱ τοίνυν τὸν ταῦτα βλασφημήσαντα ἐκδικοῦντες τίνος οἴονται σῶμα καὶ αἷμα λαμβάνειν, τοῦ εὐεργετηθέντος ἢ τοῦ εὐεργετήσαντος; ἀλλ' εἰ μὲν τοῦ εὐεργετήσαντος θεοῦ λόγου, πῶς τοῦτο λέγουσιν μὴ ὁμολογοῦντες αὐτὸν σαρκω-

---

18–30 = Conc. Const. coll. 4 ecl. 8 [L V 438 sq. M VIIII 206]. Leont. 32

M

2 ποιήσωμεν M 19 λεγόντων Leont. 20 ἂν om. Leont. 27 ἠλαττωμένου Leont. 29 δώσαντος Leont.

θῆναι καὶ ἐνανθρωπῆσαι; εἰ δὲ τοῦ εὐεργετηθέντος, ματαία αὐτῶν ἡ ἐλπὶς ἀνθρωπολατρείαν
Rom. 1, 25 πρεσβευόντων, ὅτι ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. ἡμεῖς
δὲ πάντες οἱ τῆς καθολικῆς ἐκκλησίας τὸν θεὸν λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα ἕνα τε
4 ὄντα τῆς ἁγίας τριάδος ὁμολογοῦντες αὐτοῦ καὶ τὸ σῶμα καὶ τὸ αἷμα δεχόμεθα εἰς ἄφεσιν
Ioh. 6, 54–57 ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, καθὼς καὶ αὐτὸς ὁ κύριος λέγει· ὁ τρώγων μου τὴν σάρκα
καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ
ἡμέραι. ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πό-
σις. ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν
1055 αὐτῷ. καθὼς ἀπέστειλέν με ὁ ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων
10 με κἀκεῖνος ζήσει δι' ἐμέ.

Καὶ ταῦτα μὲν οὕτω καὶ πιστεύομεν καὶ ὁμολογοῦμεν· πόσου δὲ ψεύδους ἐστὶ κἀκεῖνο μεστὸν **17**
ὅπερ τῇ μνημονευθείσῃ ἀσεβεῖ ἐπιστολῇ περιέχεται περὶ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις
Act. Conc. II 1 p. 391, 24–28 Κυρίλλου; συκοφαντεῖ γὰρ αὐτὸν ὡς μίαν φύσιν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ
ἐν τούτοις λέγοντα τοῖς κεφαλαίοις καὶ διὰ τοῦτο πάσης ἀσεβείας πεπληρῶσθαι τὰ αὐτὰ κεφάλαια
15 λέγει, ὅπερ ὁ ὑμέτερος διδάσκαλος πανούργως ἑρμήνευσε λέγων μὴ διὰ τὰ δώδεκα κεφάλαια ἐν
τῇ ἐπιστολῇ εἰρῆσθαι ὅτι ταῦτα πάσης ἀσεβείας πεπλήρωνται, ἀλλ' ὅτι εἴρηται μίαν εἶναι φύσιν
θεότητος καὶ ἀνθρωπότητος, ὅπερ προφανὲς ψεῦδός ἐστιν. ὁ γὰρ ἐν ἁγίοις Κύριλλος οὔτε ἐν
τοῖς ἄλλοις αὐτοῦ συγγράμμασιν οὔτε ἐν τῇ ἐπιστολῇ ἤτινι τὰ δώδεκα κεφάλαα ὑποτέτακται,
ἀλλ' οὐδὲ ἐν αὐτοῖς τοῖς κεφαλαίοις μίαν φύσιν θεότητος καὶ ἀνθρωπότητος δείκνυται εἰρηκώς,
20 ἀλλὰ μίαν ὑπόστασιν ἤτοι πρόσωπον τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ εἶναι
διδάσκει. ὅπερ καὶ ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία κηρύττει καὶ πάντες οἱ πατέρες ἐδίδαξαν ἀνα-
θεματίζοντες τοὺς μίαν φύσιν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ λέγοντας. ἄλλο
γάρ ἐστι φύσις καὶ ἄλλο ὑπόστασις ἤτοι πρόσωπον, καὶ ἡ μὲν φύσις τὸ κοινῶς καὶ γενικῶς κατὰ
πάντων προσώπων κατηγορούμενον σημαίνει, ἡ ὑπόστασις δὲ ἤτοι πρόσωπον τὸ ἰδικὸν δείκνυσι·
25 πρόσωπον γὰρ ἐν ἄλλωι προσώπωι οὐκ ἐπιθεωρεῖται. ὅτι δὲ ἡ μυσαρὰ ἐπιστολὴ περὶ τῶν
δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου λέγει ὡς πάσης ἀσεβείας πεπλήρωται, ἔξεστιν ὑμῖν ἐκ
Act. Conc. l. c. p. 392, 12 τῶν ἐφεξῆς τῆς αὐτῆς ἀσεβοῦς ἐπιστολῆς τοῦτο εὑρεῖν, ἐν οἷς φανερῶς εἶπεν τὰ αὐτὰ δώδεκα κε-
Act. Conc. l. c. p. 391, 26. 27 φάλαια ἐναντία εἶναι τῇ ὀρθῇ πίστει. ἐπειδὴ δὲ μέμφεται ἡ αὐτὴ ἀσεβὴς ἐπιστολὴ ἡ λεγομένη
Ἴβα τὸν ἐν ἁγίοις Κύριλλον ὡς φωνῶν διαφορὰν ἀπαρνούμενον, γινώσκετε ὅτι καὶ ἐν τούτωι
30 καὶ ὁ γράψας τὴν ἀσεβῆ ἐπιστολὴν καὶ ὁ ὑμέτερος διδάσκαλος ψεύδεται. ἐν πᾶσι γὰρ τοῖς ἰδίοις
λόγοις ὁ ἐν ἁγίοις Κύριλλος περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διδάσκων φωνῶν λέγει
διαφορὰν καὶ τὰς μὲν ὑψηλὰς κατὰ τὴν θεότητα αὐτοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρω-
πότητα αὐτοῦ, πάσας δὲ ὅμως ἐξ ἑνὸς καὶ περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ θεοῦ λόγου σεσαρκωμένου
εἰρῆσθαι· ἀπαγορεύει δὲ ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἄλλωι καὶ ἄλλωι προσώπωι διανέμεσθαι
35 ταύτας. ἀλλὰ ἀναμφιβόλως ὑμεῖς δύο προσώποις διανέμειν θέλοντες τὰς φωνάς, διὰ τοῦτο
λέγετε τὸν ἐν ἁγίοις Κύριλλον φωνῶν διαφορὰν ἀπαρνήσασθαι. ἐπειδὴ δὲ βουλόμενος ὑμᾶς
ἀπατῆσαι καὶ ἐν τούτωι ὁ διδάσκαλος ὑμῶν εἶπεν τὴν αὐτὴν ἀσεβῆ ἐπιστολὴν τὴν λεγομένην Ἴβα
τῆς Ἀπολιναρίου ἀσεβείας καταγράφειν καὶ διὰ τοῦτο ὀφείλειν αὐτὴν ὀρθόδοξον νομίζεσθαι,
εἰδέναι ὑμᾶς χρὴ ὅτι καὶ ἐν τούτωι ἐψεύσατο· οὔτε γὰρ κατὰ Ἀπολιναρίου, καθάπερ ἀνωτέρω
40 εἰρήκαμεν, γέγραπται· ὅμως δὲ εἰ καὶ καθ' ὑμᾶς τοῦτο ἦν ἀληθές, οὐ διὰ τοῦτο ἠλευθε-
ροῦτο τῆς κατακρίσεως ἡ αὐτὴ ἐπιστολή. κἂν γὰρ εἴτις αἱρετικὸς εἴπηι κατὰ αἱρετικοῦ, οὐ

M
15 ἑρμήνευσαι M 30 ἀσε in fine lineae M 36 λέγεται M

διὰ τοῦτο αὐτὸς ὀρθόδοξος δείκνυται. καὶ Ἄρειος γὰρ κατὰ Σαβελλίου εἶπεν καὶ Ἀπολινάριος κατὰ Ἀρείου καὶ Εὐτυχὴς κατὰ Νεστορίου. καὶ κἂν τὰ μάλιστα διαφόρωι πλάνηι πάντες οὗτοι κατείχοντο, ὅμως οὐδεὶς αὐτῶν ἐκ τῆς τοιαύτης ἀντιρρήσεως ὀρθόδοξος κρίνεται, ἀλλ' ὁμοίως πάντες ἀπὸ τῆς καθολικῆς ἐκκλησίας καταδικάζονται. 1057

18 Καὶ ἐκ τούτου δὲ φανερός ἐστιν ὁ τὴν μνημονευθεῖσαν ἀσεβῆ γράψας ἐπιστολὴν δύο πρόσωπα εἰσάγων, ὅτι εἶπεν· πῶς δυνατὸν ληφθῆναι τὸν ἐν ἀρχῆι λόγον ἐπὶ τοῦ ναοῦ τοῦ ἐκ Μαρίας γεννηθέντος; δι' ὧν ῥημάτων δείκνυται φανερῶς ὅτι οὐ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ τεχθῆναι ἐκ τῆς ἁγίας παρθένου Μαρίας λέγει, ἀλλὰ ψιλὸν ἄνθρωπον τὸν Χριστόν, ὃν ναὸν ἀποκαλεῖ. ὅτι δὲ καὶ ταύτην τὴν ἀσέβειαν ἐκ τῆς Θεοδώρου διδασκαλίας ἔλαβεν ὁ τὴν μυσαρὰν ἐκείνην γράψας ἐπιστολήν, δῆλον ἐξ ὧν ἐν τῶι τρίτωι λόγωι κατὰ Ἀπολιναρίου τοῦ αἱρετικοῦ ὁ αὐτὸς ἀσεβὴς Θεόδωρος ἔγραψεν λέγων οὕτως Act. Conc. l. c. p. 391, 29

19 Ἀλλ' ὅ γε θεὸς καὶ ἐκ θεοῦ καὶ ὁμοούσιος τῶι πατρὶ τῶι μὲν ἐκ τῆς παρθένου γεννηθέντι, ὦ θαυμάσιε, καὶ ὑπὸ τοῦ ἁγίου πνεύματος κατὰ τὰς θείας διαπλασθέντι γραφὰς καὶ τήν γε σύστασιν ἐπὶ τῆς γυναικείας δεξαμένωι γαστρὸς ἐνῆν, ὡς εἰκός, ἐπειδὴ ἅμα τῶι διαπλασθῆναι καὶ τὸ εἶναι θεοῦ ναὸς εἰλήφει· οὐ μὴν τὸν θεὸν γεγεννῆσθαι ἠγητέον ἡμῖν ἐκ τῆς παρθένου, εἰ μὴ ἄρα ταυτὸν ἡγητέον ἡμῖν τό τε γεννηθὲν καὶ τὸ ἐν τῶι γεννηθέντι, τὸν ναὸν καὶ τὸν ἐν τῶι ναῶι θεὸν λόγον. οὐ μὴν οὐδὲ κατὰ τὴν σὴν φωνὴν ἀποφαντέον πάντηι τὸν ἐκ τῆς παρθένου γεννηθέντα θεὸν εἶναι ἐκ θεοῦ ὁμοούσιον τῶι πατρί. εἰ γὰρ οὐκ ἄνθρωπός ἐστιν, ὡς φής, ἀναληφθεὶς ὁ γεννηθεὶς ἐκ τῆς παρθένου, θεὸς δὲ σαρκωθείς, πῶς ὁ γεννηθεὶς θεὸς ἐκ θεοῦ καὶ ὁμοούσιος λέγοιτο ἂν τῶι πατρὶ τῆς σαρκὸς οὐ δυναμένης ταύτην προσίεσθαι τὴν φωνήν; ἔστιν μὲν γὰρ ἀνόητον τὸ τὸν θεὸν ἐκ τῆς παρθένου γεγεννῆσθαι λέγειν. τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ ἐκ σπέρματος αὐτὸν λέγειν Δαβὶδ ἐκ τῆς οὐσίας τῆς παρθένου τετεκμένον καὶ ἐν αὐτῆι διαπεπλασμένον, ἐπείγε τὸ ἐκ σπέρματος Δαβὶδ καὶ ἐκ τῆς οὐσίας τῆς παρθένου συστὰν ἐν τῆι μητρώιαι γαστρὶ καὶ τῆι τοῦ ἁγίου πνεύματος διαπλασθὲν δυνάμει γεγεννῆσθαί φαμεν ἐκ τῆς παρθένου.

20 Οὕτω τοίνυν βλασφημοῦντος Θεοδώρου καὶ πολλάκις διαβεβαιουμένου μὴ δυνατὸν εἶναι τὸν θεὸν καὶ ἐκ θεοῦ καὶ ὁμοούσιον τῶι πατρὶ σαρκωθῆναι καὶ τεχθῆναι ἐκ τῆς παρθένου, ἐπειδὴ οὐδὲ ἡ σὰρξ ὁμοούσιός ἐστι τῶι πατρί, πῶς οὐκ ἐρυθριῶσιν οἱ τὸν τοιοῦτον αἱρετικὸν ἐκδικοῦντες; ὅστις τοῦτο μὲν ταῖς θείαις γραφαῖς, τοῦτο δὲ καὶ τοῖς ἁγίοις πατράσιν ἐναντία μυσαρῶς ἐξέθετο, ὁπότε δῆλον πᾶσι καθέστηκεν ὡς ἀπ' ἀρχῆς ἐξ οὗπερ ὁ θεὸς τὴν ἐκκλησίαν ἐθεμελίωσεν ἐν τῆι ὀρθῆι ὁμολογίαι, πάντες οἱ τοῦ θεοῦ ἱερεῖς ἐκήρυξαν τὸν θεὸν λόγον τὸν ἐκ θεοῦ σαρκωθῆναι ἐκ τῆς ἁγίας καὶ ἐνδόξου παρθένου Μαρίας σαρκὶ ἐψυχωμένηι ψυχῆι λογικῆι καὶ νοερᾶι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τεχθῆναι. καὶ οὕτω διδάσκοντες οὐδὲ τροπὴν τῆς θεότητος εἰς σάρκα εἰσήγαγον οὐδὲ διὰ τὴν σάρκα ὁμοούσιον αὐτὸν εἶναι τῶι πατρὶ ἀπηρνήσαντο, καθὼς Θεόδωρος ληρεῖ, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν κύριον καὶ θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ μὲν τὴν θεότητα ὁμοούσιον εἶναι τῶι πατρί, κατὰ δὲ τὴν ἀνθρωπότητα τὸν αὐτὸν ὁμοούσιον ἡμῖν εἶναι ἐδίδαξαν.

21 Πάλιν δὲ ἐν τῶι προλεχθέντι λόγωι ὁ δυσσεβὴς Θεόδωρος βλασφημῶν καὶ ταῦτα λέγει 1059

12–24 = Conc. Const. coll. 4 ecl. 1 [L V 436. M VIIII 203]. Leont. 33

M

1 σαβελίου M 13 ἀναπλασθέντι Leont. 15 γεγεννῆσθαι Leont. Conc. γεγενῆσθαι M 19 ὁ om. Leont.

'Αλλ' οὐχ ἡ θεία φύσις ἐκ παρθένου γεγέννηται, γεγέννηται δὲ ἐκ τῆς παρθένου ὁ ἐκ τῆς οὐσίας τῆς παρθένου συστάς· οὐχ ὁ θεὸς λόγος ἐκ τῆς Μαρίας γεγέννηται, γεγέννηται δὲ ἐκ Μαρίας ὁ ἐκ σπέρματος Δαβίδ· οὐχ ὁ θεὸς λόγος ἐκ γυναικὸς γεγέννηται, γεγέννηται δὲ ἐκ γυναικὸς ὁ τῆι
4 τοῦ ἁγίου πνεύματος δυνάμει διαπλασθεὶς ἐν αὐτῆι· οὐκ ἐκ μήτρας τέτεκται ὁ ὁμοούσιος τῶι
Hebr. 7, 3 πατρί, ἀμήτωρ γὰρ οὗτος κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν, ἀλλ' ὁ ἐν ὑστέροις καιροῖς ἐν τῆι μητρώιαι γαστρὶ τῆι τοῦ ἁγίου πνεύματος δυνάμει διαπλασθεὶς ἅτε καὶ ἀπάτωρ διὰ τοῦτο λεγόμενος.

Καὶ ταῦτα μὲν ὁ ἀσεβὴς Θεόδωρος παραλογιζόμενος τὴν περὶ τούτου διδασκαλίαν τοῦ ἀπο- 22
Hebr. 7, 2. 3 στόλου λέγοντος ἐν τῆι πρὸς Ἑβραίους ἐπιστολῆι περὶ τοῦ κυρίου οὕτως· πρῶτον μὲν ἑρμηνευ-
10 όμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ, ὅ ἐστι βασιλεὺς εἰρήνης, ἀπάτωρ ἀμήτωρ ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων. τοῦ γὰρ ἀποστόλου περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ εἰπόντος ἀπάτωρ ἀμήτωρ ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων, ὁ δυσσεβὴς Θεόδωρος ἄλλον λέγει ἀπάτορα καὶ ἄλλον ἀμήτορα.

15 'Αλλὰ διελέγξομεν τὴν τῶν οὕτω φρονούντων ἀσέβειαν καὶ ἐκ τῆς τῶν ἁγίων πατέρων διδασκα- 23
or. 38 [PG 36, 313] λίας. λέγει γὰρ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Ναζιανζοῦ ἐπίσκοπος ἐν τῶι περὶ τῶν θεοφανίων λόγωι οὕτως

Τίς οὐ προσκυνεῖ τὸν ἀπ' ἀρχῆς; τίς οὐ δοξάζει τὸν τελευταῖον; πάλιν τὸ σκότος λύεται, πάλιν 24
19 τὸ φῶς ὑφίσταται, πάλιν Αἴγυπτος σκότωι κολάζεται, πάλιν 'Ισραὴλ στύλωι φωτίζεται. ὁ λαὸς
Ies. 9, 2 ὁ καθήμενος ἐν σκότει τῆς ἀγνοίας, ἰδέτω φῶς μέγα τῆς ἐπιγνώσεως. τὰ ἀρχαῖα παρῆλθε
2. Cor. 5, 17 καὶ γέγονε τὰ πάντα καινά, τὸ γράμμα ὑποχωρεῖ, τὸ πνεῦμα παρρησιάζεται· αἱ σκιαὶ παρατρέχουσιν, ἡ ἀλήθεια ἐπεισέρχεται· ὁ Μελχισεδὲκ συνάγεται, ὁ ἀμήτωρ ἀπάτωρ γίνεται, ἀμήτωρ τὸ πρότερον, ἀπάτωρ τὸ δεύτερον. νόμοι φύσεως καταλύονται, πληρωθῆναι δεῖ τὸν ἄνω κόσμον· Χριστὸς κελεύει, μὴ ἀντιτείνωμεν.

25 Πρὸς τούτοις δὲ καὶ ὁ ἐν ἁγίοις Πρόκλος ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως ἐν τῶι λόγωι τῶι 25
PG 65, 684 εἰς τὴν θεοτόκον οὕτω λέγει· Ὁ ὢν κατὰ φύσιν ἀπαθὴς γέγονε δι' οἶκτον πολυπαθής· οὐκ ἐκ προκοπῆς γέγονε θεὸς ὁ Χριστός, μὴ γένοιτο, ἀλλὰ δι' οἶκτον γέγονεν ἄνθρωπος ὁ θεὸς ὧι πιστεύομεν· οὐκ ἄνθρωπον ἀποθεωθέντα κηρύττομεν, ἀλλὰ θεὸν σαρκωθέντα ὁμολογοῦμεν. τὴν
29 οἰκείαν δούλην ἐπεγράψατο μητέρα ὁ κατ' οὐσίαν ἀμήτωρ καὶ κατ' οἰκονομίαν ἀπάτωρ· ἐπεὶ πῶς
Hebr. 7, 3 ὁ αὐτὸς κατὰ Παῦλον ἀμήτωρ καὶ ἀπάτωρ; εἰ ψιλὸς ἄνθρωπος, οὐκ ἀμήτωρ, ἔχει γὰρ μητέρα· εἰ γυμνὸς θεός, οὐκ ἀπάτωρ, ἔχει γὰρ πατέρα· νῦν δὲ ὁ αὐτὸς ἀμήτωρ ὡς πλάστης, ἀπάτωρ ὡς πλάσμα.

Καὶ ὁ ἐν ἁγίοις δὲ Αὐγουστῖνος ἐν τῶι περὶ τῆς ἐκθέσεως τοῦ συμβόλου λόγωι οὕτως λέγει 26
PL 42, 1122 Πιστεύομεν εἰς τὸν υἱὸν αὐτοῦ 'Ιησοῦν τὸν Χριστὸν γεννηθέντα ἐκ πνεύματος ἁγίου καὶ τῆς
35 παρθένου Μαρίας. διὰ τί ταύτην τὴν γέννησιν, ὦ ἄπιστε, ἐκπλήττηι; μὴ πίστευε εἰ μόνον ἄνθρωπος ἦν ὁ γεννηθείς· εἰ δὲ θεὸς ἄνθρωπος ἦν, ἐξ ἧς ἠθέλησεν, ἐγεννήθη, ἐπειδὴ ὡς ἠθέλησεν, ἐγεννήθη. ἐκεῖνο θαύμασον μᾶλλον ὅτι ὁ λόγος ἔλαβεν σάρκα καὶ οὐκ ἐτράπη εἰς σάρκα, ὅτι μένων θεὸς γέγονεν ἄνθρωπος. πλὴν τί θαυμάζεις ὅτι ἡ γεννήσασα τὸν ἴδιον ἐγέννησεν κτί-
1061 στην, ὅτι τὸ ποίημα τὸν ποιητὴν ἐγέννησεν; οὕτως ἠβουλήθη ὁ ὕψιστος γεννηθῆναι ταπεινός,
40 ἵνα ἐν αὐτῆι τῆι ταπεινώσει ἐπιδείξηται τὴν μεγαλειότητα.

1–7 = L V 436 M VIIII 204 M

1 γεγένηται γεγέννηται M

35 διὰ τί – 40 in textu Latino non extant

35 ἐκπλήττει M

27 Καὶ ταῦτα μὲν οἱ ἅγιοι πατέρες· ὅτι δὲ καὶ αἱ θεῖαι γραφαί, αἷς ἠκολούθησαν οἱ ἅγιοι πατέρες, αὐτὸν τὸν θεὸν λόγον σαρκωθῆναι καὶ τεχθῆναι ἐκ τῆς ἁγίας παρθένου Μαρίας καὶ ἐνανθρωπῆσαι διδάσκουσι, δῆλον ὑπάρχει. λέγει γὰρ πρῶτον ὁ προφήτης Ἡσαίας

28 Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ θεός. Ies. 7, 14 Mt. 1, 23

29 Εἶτα καὶ Δαβὶδ ὁ προφήτης λέγει ἐν τῷ ἑκατοστῷ ἕκτῳ ψαλμῷ

Ἀπέστειλεν τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτοὺς καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Ps. 106, 20

30 Ἀλλὰ καὶ ὁ ἅγιος ἀπόστολος Παῦλος οὕτω λέγει

Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Gal. 4, 5

31 Τούτων τοίνυν οὕτως ἐχόντων τίς οὕτω μαίνεται ὥστε τολμῆσαι εἰπεῖν ὅτι ἄνθρωπος ἦν ἐν τοῖς οὐρανοῖς κἀκεῖνος ἀπεστάλη, ἵνα γένηται ἐκ γυναικὸς καὶ ὑπὸ νόμον; οἱ ἄνθρωποι γὰρ πρὸ τῆς τοῦ λόγου σαρκώσεως ὑπὸ νόμον ἦσαν, ἀλλ' αὐτὸς ὁ θεὸς λόγος ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὁ μὴ ὢν ὑπὸ νόμον, ἀλλ' αὐτὸς δεδωκὼς τὸν νόμον ἀπεστάλη παρὰ τοῦ πατρὸς καὶ ἐκ γυναικὸς γενόμενος γέγονεν ὑπὸ νόμον, ἵνα ἡμᾶς τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ καὶ τὴν υἱοθεσίαν ἀπολάβωμεν. εἰ τοίνυν, ὡς ὁ γράψας τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν καὶ ὁ αἱρετικὸς Θεόδωρος μαίνονται, οὐκ ἦν ἀληθῶς καὶ κυρίως υἱὸς τοῦ θεοῦ ὁ τεχθεὶς ἐκ γυναικός, πῶς ἠδύνατο ἡμῖν υἱοθεσίαν δωρήσασθαι;

32 Πρὸς τούτοις περιέχεται ἐν τῇ αὐτῇ ἀσεβεῖ ἐπιστολῇ ὅτι τὸ ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους οὐκ ἔστι δυνατὸν περὶ τῆς θεότητος τοῦ μονογενοῦς ῥηθῆναι, ὅπερ καὶ ὑμεῖς ὡς ὀρθῶς ῥηθὲν προτεθήκατε λέγοντες ὅτι περὶ τοῦ ἀνθρώπου καὶ οὐχὶ περὶ τοῦ θεοῦ λόγου τοῦ σαρκωθέντος τοῦτο δύναται λέγεσθαι. ὅτι δὲ καὶ ταύτην τὴν ἀσέβειαν παρὰ Θεοδώρου τοῦ αἱρετικοῦ διδαχθεὶς ὁ τὴν ἐπιστολὴν γράψας τὰ τοιαῦτα ἐβλασφήμησεν, φανερὸν ποιήσωμεν ἐκ τῶν τῷ αὐτῷ Θεοδώρῳ εἰρημένων ἐν τῷ τετάρτῳ λόγῳ τῶν κατὰ Ἀπολιναρίου· ἔχει δὲ οὕτως Act. Conc. II 1 p. 391, 30. 31 Ps. 8, 6

33 Τὸν δὲ ἄνθρωπον περὶ οὗ ταῦτά φησιν ὁ προφήτης, σαφῶς ὁ μακάριος δηλοῖ Παῦλος τὸν ὑπὸ τοῦ μονογενοῦς εἰλημμένον ἄνθρωπον εἶναι. εἰρηκὼς γὰρ ὅτι διεμαρτύρατο δέ πού τις λέγων· τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκηι αὐτοῦ ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτηι αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξηι καὶ τιμῆι ἐστεφάνωσας αὐτὸν καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, ἐπάγει τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξηι καὶ τιμῆι ἐστεφανωμένον, σαφῶς δεικνὺς ὅτι Ἰησοῦς ἄνθρωπος, περὶ οὗ ὁ μακάριός φησι Δαβίδ, ἐκπληττόμενος ὅτι ἡ θεία φύσις ἠνέσχετό τε αὐτοῦ ποιήσασθαι μνήμην καὶ δὴ καὶ ἐπισκέψεως ἀξιώσασα οἰκείας βραχύ μέν τι παρὰ τοὺς ἀγγέλους αὐτὸν ἐλαττῶσαι τῷ γεύσασθαι ποιῆσαι θανάτου, δόξῃ δὲ αὐτὸν καὶ τιμῇ πάσῃ περιβαλεῖν, ὥστε καὶ κύριον ἀποφῆναι τῶν ἁπάντων διὰ τῆς πρὸς ἑαυτὸν συναφείας. Hebr. 2, 6–8 Hebr. 2, 9 1063

43 Καὶ πάλιν ἐν τῇ ἑρμηνείαι τοῦ ὀγδόου ψαλμοῦ περὶ τοῦ αὐτοῦ ῥητοῦ ὁ αὐτὸς ἀσεβὴς Θεόδωρος οὕτως λέγει

28–38 = Leontius 34

M

35 ἠνέσχετό Leontius ἦν ἔσχε τό M 37 ἐλαττῶσαι Leontius ἠλάττωσαι M τὸ MLeont.

Διὰ τοῦτο τοίνυν τὴν μὲν διαφορὰν τοῦ τε θεοῦ λόγου καὶ τοῦ ἀναληφθέντος ἀνθρώπου τοσαύτην ἡμῖν δείκνυσιν ὁ ψαλμός, διηρημένα δὲ ταῦτα ἐν τῇι καινῇι διαθήκηι εὑρίσκεται, τοῦ μὲν κυρίου ἐφ' ἑαυτὸν λαμβάνοντος τὰ πρότερα τοῦ ψαλμοῦ, ἐν οἷς ποιητήν τε αὐτὸν εἶναί φησι τῆς κτίσεως καὶ ἐπηρμένην ἔχειν ὑπεράνω τῶν οὐρανῶν τὴν μεγαλοπρέπειαν καὶ τεθαυμαστῶσθαι ἐν πάσηι τῆι γῆι, τοῦ δὲ ἀποστόλου τὰ δεύτερα τὰ περὶ τοῦ ἀνθρώπου <τοῦ> τῆς τοσαύτης εὐεργεσίας καταξιωθέντος ἐπὶ τοῦ Ἰησοῦ λαμβάνοντος. πῶς οὐ πρόδηλον ὅτι ἕτερον μὲν ἡμᾶς ἡ θεία γραφὴ διδάσκει σαφῶς εἶναι τὸν θεὸν λόγον, ἕτερον δὲ τὸν ἄνθρωπον πολλήν τε αὐτῶν οὖσαν δείκνυσιν ἡμῖν τὴν διαφοράν; ὁ μὲν γὰρ μνημονεύει, ὁ δὲ τῆς μνήμης καταξιοῦται· καὶ ὁ μὲν ἐπισκέπτεται, ὁ δὲ καὶ ταύτης καταξιούμενος μακαρίζεται· καὶ ὁ μὲν εὐεργετῶν ἐλαττοῖ βραχύ τι παρ' ἀγγέλους, ὁ δὲ εὐεργετεῖται καὶ ἐπὶ τῇι τοιαύτηι ἐλαττώσει· καὶ ὁ μὲν δόξηι καὶ τιμῆι στεφανοῖ, ὁ δὲ στεφανοῦται καὶ ἐπὶ τούτοις μακαρίζεται· καὶ ὁ μὲν κατέστησεν αὐτὸν ἐπὶ πάντα τὰ ἔργα τῶν χειρῶν αὐτοῦ καὶ πάντα ὑπέταξεν ὑποκάτω τῶν ποδῶν αὐτοῦ, ὁ δὲ κατηξιώθη τοῦ δεσπόζειν τούτων ὧν πρότερον οὐκ εἶχεν τὴν ἐξουσίαν.

Καὶ ταῦτα μὲν ὁ ἀσεβὴς Θεόδωρος καὶ ἡ μυσαρὰ ἐκείνη ἐπιστολὴ βλασφημοῦσι φανερῶς λέγοντες ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστόν, οἷς καὶ ὑμεῖς ἀκολουθοῦντες γεγραφήκατε ὅτι τὸ ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους περὶ ἀνθρώπου καὶ οὐ περὶ τοῦ σαρκωθέντος θεοῦ λόγου εἴρηται. καίτοι ἐχρῆν ὑμᾶς νοεῖν ὅτι πᾶς ἄνθρωπος ἐλάττων ἐστὶν τῶν ἀγγέλων, ἀλλὰ τοῦτο εἴρηται διὰ τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ. θεὸς γὰρ ὢν ἠξίωσεν ἄνθρωπος γενέσθαι τῆι ἡμετέραι συγκαταβαίνων ἀσθενείαι, ὅπερ καὶ ὁ ἀπόστολος ἡμᾶς διδάσκει λέγων τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξηι καὶ τιμῆι ἐστεφανωμένον. εἰ τοίνυν ὡς ὑμεῖς λέγετε, ἄλλος ἐστὶν Ἰησοῦς ὁ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένος καὶ ἄλλος ὁ τοῦ θεοῦ λόγος ὁ μὴ ἐλαττωθείς, ἀναμφιβόλως ὁ Χριστὸς ψιλός ἐστιν ἄνθρωπος ὁ τὸ πάθος ὑπομείνας, ὥστε καθ' ὑμᾶς καὶ τὸν ἀπόστολον ψεύδεσθαι λέγοντα εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. τίς γάρ ἐστιν ὁ κύριος τῆς δόξης, εἰ μὴ ὁ θεὸς λόγος ὁ σαρκωθείς, ὃν οἱ Ἰουδαῖοι θεὸν εἶναι ἀγνοοῦντες ἔλεγον διὰ τί σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν; ὅπερ καὶ ὁ ὑμέτερος διδάσκαλος διὰ τῆς πονηρᾶς ταύτης ἑρμηνείας τοῖς Ἰουδαίοις μᾶλλον ἀκολουθήσας κατέναντι τοῦ θεοῦ ἡμῶν ἐλάλησεν.

Πρὸς δὲ βεβαίωσιν τῶν ὑμετέρων λόγων προσεθήκατε τοῖς κεφαλαίοις ὑμῶν λέγοντες τὸ εἰρημένον παρὰ τοῦ ἀποστόλου ὃς ἐν μορφῇι θεοῦ ὑπάρχων ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν συνάιδειν τῇι ὑμετέραι ἑρμηνείαι καὶ μὴ περὶ τοῦ θεοῦ λόγου σαρκωθέντος, ἀλλὰ περὶ ἀνθρώπου μόνον εἰρῆσθαι. ἀλλ' εἰ καὶ ὑμεῖς τῇι τῶν αἱρετικῶν καὶ ἐν τούτωι ἀκολουθοῦντες πλάνηι περὶ ἀνθρώπου τὸν ἀπόστολον εἰρηκέναι διαβεβαιοῦσθε ὅτι ἐκένωσεν ἑαυτόν, ὅμως πᾶσι τοῖς ὀρθοδόξοις δῆλόν ἐστιν ὅτι ὁ ἀπόστολος αὐτὸν τὸν θεὸν λόγον ἑαυτὸν κενῶσαί φησιν, ἐπειδὴ ἐν μορφῇι θεοῦ ὑπάρχων, τουτέστιν ἐν τῇι θείαι φύσει, ἠξίωσεν μορφὴν δούλου λαβεῖν· ἡ δὲ μορφὴ τοῦ δούλου τὴν ἀνθρωπίνην φύσιν σημαίνει, ἣν ἐν τῇι γαστρὶ τῆς παρθένου καὶ ἐξ αὐτῆς τῇι ἰδίαι ὑποστάσει ὁ θεὸς λόγος ἥνωσεν καὶ οὐ προδιαπλασθέντι ἀνθρώπωι ἡνώθη, καθάπερ ἡ Νεστορίου καὶ Θεοδώρου παραδέδωκεν ἀσέβεια τοῖς ἀκολουθοῦσιν αὐτοῖς. Νεστόριος μὲν γὰρ λέγει ὅτι ὁ θεὸς λόγος συνῆν τῶι ἀνθρώπωι τῶι ἐκ Μαρίας τεχθέντι, Θεόδωρος δὲ λέγει· ἐνῆν ὡς εἰκὸς τῶι τεχθέντι.

Ὅτι δὲ περὶ τοῦ θεοῦ λόγου τοῦ σαρκωθέντος εἴρηται τὸ ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, καὶ ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών, καὶ ἐξ ἄλλων ῥημάτων τοῦ

Phil. 2, 6. 7

Hebr. 2, 9

1 Cor. 2, 8

Ioh. 10, 33

1065

1–13 = Conc. Const. coll. 4 ecl. 19 [L V 442. M VIIII 211]. Leont. 35 M

5 τοῦ³ Leontius om. M 32 διαβεβαιοῦσθαι M

ἀποστόλου διδασκόμεθα οὕτω λέγοντος· γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν Ἰη- 2 Cor. 8, 9
σοῦ Χριστοῦ ὅτι δι' ἡμᾶς ἐπτώχευσεν πλούσιος ὤν, ἵνα ἡμεῖς τῇι ἐκείνου πτωχείαι
πλουτήσωμεν. τίς τοίνυν τολμήσει λέγειν ὅτι ἄνθρωπος πλούσιος ἦν καὶ ἐπτώχευσεν, ἵνα ἡμᾶς
πλουτήσηι; ἐπειδὴ δὲ λέγετε ὅτι εἴτις εἴπηι περὶ τοῦ σαρκωθέντος θεοῦ λόγου τοῦ μονογενοῦς
υἱοῦ τοῦ θεοῦ ὅτι αὐτὸς ἠλαττώθη ἢ ἐκενώθη, τροπὴν τῆς θείας φύσεως ποιεῖ κατὰ τὴν Ἀπολι- 5
ναρίου ἀσέβειαν ἢ παθητὴν εἰσάγει τὴν θεότητα κατὰ τὴν Ἀρείου μανίαν, ἁρμόζει πρὸς ὑμᾶς τὸν
εὐαγγελικὸν ἐκεῖνον λόγον εἰπεῖν πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν Mt. 22, 29
τοῦ θεοῦ ἐπιστάμενοι. τί γὰρ εἰπεῖν ἔχετε περὶ τοῦ ῥηθέντος ὑπὸ τοῦ κυρίου ὅτι οὐδεὶς
ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου Ioh. 3, 13
ὁ ὢν ἐν τῶι οὐρανῶι; μὴ ἄνθρωπον λέγετε καταβεβηκέναι ἐκ τοῦ οὐρανοῦ; ἀλλὰ πρόδηλον ὅτι 10
αὐτὸς ὁ θεὸς λόγος ἐκένωσεν ἑαυτὸν ἐκ τῶν οὐρανῶν κατελθὼν καὶ σαρκωθεὶς ἀπὸ τῆς ἁγίας
θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἐνανθρωπήσας καὶ τεχθεὶς ἐξ αὐτῆς καὶ ὁ καταβὰς αὐτός
ἐστιν καὶ ὁ ἀναβὰς καὶ αὐτοῦ λέγεται ἡ ἐλάττωσις καὶ ἡ κένωσις διὰ τὴν κατάβασιν.

38 Ἐπειδὴ δὲ καὶ ἐν ἄλλωι τόπωι εἶπεν ὁ κύριος ἐν τοῖς εὐαγγελίοις ὅτι ὁ πατήρ μου μείζων Ioh. 14, 28
μού ἐστιν, μὴ ἄρα ἄνθρωπόν τινα περὶ αὐτοῦ ταῦτα εἰρηκέναι νομίζετε καὶ οὐχὶ τὸν θεὸν 15
λόγον τὸν ἐνανθρωπήσαντα; ἀλλὰ φανερόν ἐστιν ὅτι ὁ εἰπὼν ὁ πατήρ μου μείζων μού ἐστιν
εἶπεν ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. ἀλλ' ἐν μὲν τῶι εἰπεῖν ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν τὴν Ioh. 10, 30
ἰσότητα ἣν αὐτὸς ἔχει πρὸς τὸν πατέρα κατὰ τὴν θείαν φύσιν δηλοῖ, ἐν δὲ τῶι λέγειν τὸν αὐτὸν
ὁ πατήρ μου μείζων μού ἐστιν τὴν δι' ἡμᾶς οἰκονομικῶς γενομένην ἐλάττωσιν δηλοῖ. ἑκά-
τερον δὲ καὶ ἡ ἰσότης καὶ ἡ ἐλάττωσις περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ 20
Χριστοῦ, τουτέστιν τοῦ θεοῦ λόγου τοῦ σαρκωθέντος λέγεται. καὶ Ἀρειανοὶ μὲν πονηρᾶι δια-
νοίαι ἐκ τῶν ταπεινῶν ῥημάτων ὁμοούσιον εἶναι τῶι πατρὶ τὸν υἱὸν ἀρνοῦνται καὶ διὰ τοῦτο ἐλάτ-
τονα αὐτὸν εἶναι διαβεβαιοῦνται, ὑμεῖς δὲ μὴ θέλοντες περὶ τοῦ σαρκωθέντος θεοῦ λόγου τὰ
ταπεινὰ δέξασθαι, ἄλλο πρόσωπον τῆι τριάδι εἰσάγετε κατὰ τὴν Θεοδώρου καὶ Νεστορίου δυσ- 24
σέβειαν. ἀλλ' ἡμεῖς καὶ τὰ ὑψηλὰ καὶ τὰ ταπεινὰ περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ θεοῦ λόγου τοῦ 1067
σαρκωθέντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντες οὔτε σύγχυσιν οὔτε διαίρεσιν τῶν φύσεων
εἰσάγομεν, ἐξ ὧν τὴν μίαν σύνθετον ὑπόστασιν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμο-
λογοῦμεν, οὔτε δὲ τέταρτον πρόσωπον ἐπεισάγομεν τῆι ἁγίαι τριάδι.

39 Ὅτι δὲ περὶ τοῦ μονογενοῦς θεοῦ λόγου σαρκωθέντος καθ' ἃ προείρηται, τὸ ἠλάττωσας Hebr. 2, 9
αὐτὸν βραχύ τι παρ' ἀγγέλους γέγραπται, καὶ οἱ ἅγιοι πατέρες καὶ διδάσκαλοι τῆς ἐκκλησίας 30
οἱ τὰς ἁγίας γραφὰς ἑρμηνεύσαντες ἐδίδαξαν ἡμᾶς. καὶ ὁ ἐν ἁγίοις μὲν Κύριλλος ἐν τῆι πρὸς
τὰς βασιλίδας ἐπιστολῆι οὕτως εἶπεν

40 Πῶς οὖν ἠλάττωται παρὰ τοὺς ἀγγέλους ὁ παρ' αὐτῶν προσκυνούμενος; ἀλλὰ ἐστὶ σαφὴς ἡ Act. Conc. I 1, 5
πρόφασις. καθίκετο γὰρ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις καὶ τὸ ἀποθνήισκειν πεφυκὸς p. 29, 31–30, 9
σῶμα λαβὼν ἴδιόν τε αὐτὸ ποιησάμενος ἐν αὐτῶι πέπονθεν ἑκὼν καὶ ταῖς ἀνωτάτω δόξαις στεφα- 35
νοῦται διὰ τὸ πάθος ὡς δι' αὐτοῦ καταργήσας τὸν θάνατον καὶ ἄπρακτον ἀποφήνας τὴν φθοράν,
ἅτε δὴ καὶ ὑπάρχων ἀφθαρσία καὶ ζωή. ὅταν οὖν Ἰησοῦν ὀνομάζηι καὶ ἠλαττῶσθαι λέγοι
παρὰ τοὺς ἀγγέλους αὐτόν, οὐκ ἄνθρωπον ἀνὰ μέρος καὶ ἰδικῶς, ἀλλ' αὐτὸν νοοῦμεν τὸν μονογενῆ
παραχωροῦντα τὸ προύχειν οἰκονομικῶς τοῖς ἁγίοις ἀγγέλοις, ὅτι κατὰ ἀλήθειαν γέγονεν ἄνθρω-
πος ὁ τῆς ἐκείνων ὑπεροχῆς ἠττώμενος, τὰ δὲ τῆς ὑπεροχῆς τοῖς ἁγίοις ἀγγέλοις, ὅτι καὶ ἔξω 40
σαρκὸς καὶ τοῦ τεθνάναι κρείττους εἰσίν, γεγονότος ἐν τούτοις τοῦ υἱοῦ διὰ τὴν ἑκούσιον κένωσιν.

M

4 πλουτήσει M 13 λέγετε M 17 τὸ M 24 εἰσάγεται M 34 καθείκετο M

ἀλλ' ὁ βραχὺ παρ' ἀγγέλους ἠλαττωμένος διὰ τὸ τῆς ἀνθρωπότητος μέτρον ἐν ὑπεροχῇ θεότητος
Ies. 6, 3 ὢν προσκυνεῖται παρ' αὐτῶν καὶ ἐνίδρυται θάκοις οὓς περιεστᾶσιν ἐκεῖνοι δοξολογοῦντες ἀεὶ καὶ τῶν δυνάμεων αὐτὸν ὀνομάζοντες κύριον.

Ὅτι δὲ καὶ ἡ κένωσις αὐτοῦ τοῦ θεοῦ λόγου σαρκωθέντος ἐστίν, ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος 41
ἐν τοῖς πρὸς τὰς ἀντιρρήσεις Θεοδωρήτου γραφεῖσιν, ἃς ἐποιήσατο ὁ αὐτὸς Θεοδώρητος κατὰ τοῦ τετάρτου αὐτοῦ κεφαλαίου, οὕτως λέγει

Act. Conc. I 1, 6 p. 125, 14–22 Ὅτι μὲν σμικρὰ τῶι ἐκ τοῦ θεοῦ φύντι λόγωι πάντα ἐστὶ τὰ ἀνθρώπινα, φαίην ἂν ὄκνου δίχα παντός· ζητῶ δὲ τὴν κένωσιν τίνος ἂν γενέσθαι νοοῖτο καὶ τίς ὁ τοῦτο παθὼν ἑκουσίως. εἰ μὲν γάρ, ὡς αὐτοί φασιν, ἡ τοῦ δούλου μορφὴ ἤτοι τὸ ἐκ σπέρματος Δαβίδ, πῶς ἢ τίνα κεκένωται τρόπον, εἰ προσελήφθη παρὰ θεοῦ; εἰ δὲ αὐτὸς ὁ ἐν μορφῇ καὶ ἰσότητι τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχων λόγος ἑαυτὸν κενῶσαι λέγεται, πῶς δὴ πάλιν ἢ τίνα τρόπον κεκένωται, εἰ παραιτοῖτο τὴν κένωσιν; κένωσις δὲ τῶι θεῶι λόγωι παθεῖν οὐκ εἰδότι τὴν τροπὴν τὸ δρᾶσαί τι καὶ εἰπεῖν τῶν ἀνθρωπίνων διὰ τὴν πρὸς σάρκα σύνοδον οἰκονομικήν.

Act. Conc. l. c. p. 138, 15–27 Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τῶι αὐτῶι βιβλίωι κατὰ Νεστοριανῶν οὕτω λέγει 42
Ἆρ' οὖν ὁ θεσπέσιος Παῦλος πεφενάκικε τοὺς ἡγιασμένους διὰ τῆς πίστεως, ἐναργέστατα
2 Cor. 8, 9 λέγων περὶ τοῦ μονογενοῦς ὅτι πλούσιος ὢν ἐπτώχευσεν δι' ἡμᾶς; μὴ γένοιτο· ἀληθεύει γὰρ πάντως τῆς ἀληθείας ὁ κῆρυξ. ἀλλὰ γὰρ τίς ὁ πλούσιός ἐστιν καὶ τίνα τρόπον ἐπτώχευσεν, βασανιζέτω καὶ νῦν ὁ λόγος ἡμῖν. εἰ μὲν γὰρ καθ' ἃ καὶ φρονεῖν καὶ λέγειν αὐτοὶ τεθαρσήκασιν,
19 ἄνθρωπος ἀνελήφθη παρὰ τοῦ θεοῦ, πῶς ἐπτώχευσεν ὁ ἀναληφθεὶς καὶ τοῖς ὑπὲρ φύσιν ἀξιώ-
1069 μασιν ἐκλελαμπρυσμένος; δεδόξασται γάρ· ἢ εἰ μὴ τοῦτό ἐστιν ἀληθές, διαβεβλήσεται παρ' αὐτῶν ἡ ἀνάληψις ὡς κατακομίσασα πρὸς τὸ μεῖον καὶ πρός γε τὸ δυσκλεέστερον τὸ τῆς ἀνθρωπότητος μέτρον. ἀλλ' ὧδε φρονεῖν ἀπηχές· οὐκοῦν οὐκ ἐπτώχευσεν ὁ ἀναληφθείς. λείπεται τοίνυν εἰπεῖν ὅτι γέγονεν ἐν πτωχείαι τῆι καθ' ἡμᾶς ὁ πλούσιος ὡς θεός.

or. 38 [PG 36, 325] Ὁμοίως δὲ καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ θεολόγος ἐν τῶι λόγωι τῶι περὶ τῶν θεοφανίων οὕτως 43
25 λέγει

Προελθὼν δὲ θεὸς μετὰ τῆς προσλήψεως ἓν ἐκ δύο τῶν ἐναντίων, σαρκὸς καὶ πνεύματος, ὧν τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη. ὢ τῆς καινῆς μίξεως, ὢ τῆς παραδόξου κράσεως. ὁ ὢν γίνεται καὶ ὁ ἄκτιστος κτίζεται, καὶ ὁ ἀχώρητος χωρεῖται διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι. καὶ ὁ πλουτίζων πτωχεύει, πτωχεύει γὰρ τὴν ἐμὴν κάθαρσιν,
30 ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα, καὶ ὁ πλήρης κενοῦται, κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρόν, ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως.

c. Arian. 1, 40 [PG 26 p. 93] Phil. 2, 6. 7 Ἀλλὰ καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος ἑρμηνεύων τὰ τοῦ ἀποστόλου ῥητὰ λέγοντος ὃς ἐν μορφῇ 44
θεοῦ ὑπάρχων ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών οὕτως λέγει

Τί τούτου λευκότερον καὶ ἀποδεικτικώτερον γένοιτο ἄν; οὐ γὰρ ἐξ ἐλαττόνων βελτίων γέγονεν,
35 ἀλλὰ μᾶλλον θεὸς ὑπάρχων τὴν δούλου μορφὴν ἔλαβεν καὶ ἐν τῶι λαβεῖν οὐκ ἐβελτιώθη, ἀλλ' ἐταπείνωσεν ἑαυτόν.

l. c. 43 [p. 101] Καὶ μετ' ὀλίγον· τί δὲ τοῦτό ἐστιν ἢ τὸν ἐν μορφῇ θεοῦ ὄντα καὶ εὐγενοῦς πατρὸς υἱὸν ταπεινῶ- 45
σαι ἑαυτὸν καὶ δοῦλον ἀνθ' ἡμῶν καὶ ὑπὲρ ἡμῶν γενέσθαι;

l. c. 44 [p. 104] Ioh. 1, 14 1. Cor. 15, 47 Καὶ μετ' ὀλίγον· ὁ γὰρ λόγος σὰρξ ἐγένετο καὶ λέγεται ὅτι ὁ τοιοῦτος ἄνθρωπος ἐξ οὐρανοῦ 46
καὶ ἐπουράνιος διὰ τὸ ἐξ οὐρανοῦ καταβεβηκέναι τὸν λόγον.

41 Ἀλλὰ καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ ἐπίσκοπος Νύσης κατὰ Εὐνομίου ἐν τῶι τρίτωι λόγωι οὕτως 47
λέγει

M

15 πεφαινάκικε M 22 ἀλλ' ὧδε Cyrill. ἄλλα δὲ M

Ταῦτα περὶ τὸν ἐσταυρωμένον ἡμεῖς πεπιστεύκαμεν καὶ διὰ τοῦτο ὑπερυψοῦντες κατὰ τὸ ἡμέτερον τῆς δυνάμεως μέτρον οὐκ ἀπολήγομεν, ὅτι ὁ μηδενὶ χωρητὸς διὰ τὴν ἄφραστον αὐτοῦ καὶ ἀπρόσιτον μεγαλειότητα πλὴν ἑαυτῶι καὶ τῶι πατρὶ καὶ τῶι πνεύματι τῶι ἁγίωι οὗτος καὶ πρὸς κοινωνίαν τῆς ἀσθενείας ἡμῶν κατελθεῖν ἠδυνήθη· οἳ δὲ ταύτην ἀπόδειξιν τῆς κατὰ τὴν φύσιν ἀλλοτριότητος τοῦ υἱοῦ πρὸς τὸν πατέρα ποιοῦνται τὸ διὰ σαρκὸς καὶ σταυροῦ φανερωθῆναι τὸν κύριον, ὡς τῆς μὲν τοῦ πατρὸς φύσεως καθαρῶς ἐν ἀπαθείαι διαμενούσης καὶ μηδενὶ τρόπωι τὴν πρὸς τὸ πάθος κοινωνίαν ἀναδέξασθαι δυναμένης, τοῦ δὲ υἱοῦ διὰ τὸ πρὸς τὸ ταπεινότερον παρηλλάχθαι τὴν φύσιν πρὸς σαρκός τε καὶ θανάτου πεῖραν οὐκ ἀδυνατοῦντος ἐλθεῖν. III 3 p. 114, 14–27 Jaeg.

48 Καὶ μεθ' ἕτερα· διὰ τοῦτο γὰρ καὶ τοῦ κυρίου τῆς δόξης ὁ σταυρὸς λέγεται καὶ πᾶσα γλῶσσα ἐξομολογεῖται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. εἰ δὲ χρὴ καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν διελεῖν τρόπον, σκεψώμεθα τί τὸ ἀποθνῄσκον καὶ τί τὸ καταλύον τὸν θάνατον, καὶ τί τὸ ἀνακαινούμενον καὶ τί τὸ κενούμενον· κενοῦται μὲν γὰρ ἡ θεότης, ἵνα χωρητὴ τῆι ἀνθρωπίνηι γένηται φύσει, ἀνακαινοῦται δὲ τὸ ἀνθρώπινον διὰ τῆς πρὸς τὸ θεῖον ἀνακράσεως θεῖον γινόμενον. l. c. p. 124, 19–28 1 Cor. 2, 8 Phil. 2, 10 11

49 Καὶ ταῦτα μὲν ἐκ τῆς διδασκαλίας τῶν ἁγίων πατέρων τεθήκαμεν, ἵνα ταῦτα κατανοοῦντες γνοίητε ὡς τὰ παρ' ὑμῶν προτεθειμένα καὶ Ἀρειανοὶ καὶ Νεστοριανοὶ κατὰ τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ λέγουσιν ἀσεβῶς. οἱ μὲν γὰρ Ἀρειανοὶ σπουδάζοντες τὸν υἱὸν κτίσμα καὶ ἀλλότριον τῆς πατρικῆς οὐσίας ἀποδεῖξαι καὶ τὸ πάθος καὶ τὰ ἄλλα τὰ ταπεινὰ τῆι θεότητι αὐτοῦ μόνηι ἐπάγουσιν, οἱ δὲ Νεστοριανοὶ δύο υἱοὺς εἰσάγειν βουλόμενοι κεχωρισμένως λέγουσι τὸν θεὸν λόγον καὶ κεχωρισμένως τὸν Χριστὸν ψιλὸν ἄνθρωπον καὶ μόνωι τῶι ἀνθρώπωι τὰ ταπεινὰ ἀπονέμουσιν. ἀλλ' οὐχ οὕτως οἱ ἅγιοι πατέρες διδάσκουσιν· οὐδὲ γὰρ διὰ τὰ ταπεινὰ τροπὴν λέγουσιν τῆς τοῦ υἱοῦ θεότητος οὐδὲ διὰ τὰ ὑψηλὰ διαιροῦσι τὴν ἀνθρωπότητα τῆς θεότητος, ἀλλὰ τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ μονογενοῦς θεοῦ λόγου σεσαρκωμένου καὶ ἐνανθρωπήσαντος καὶ τὰ ὑψηλὰ καὶ τὰ ταπεινὰ εἶναι παραδιδόασιν. ἐπειδὴ δὲ καὶ τοῦτο τοῖς ὑμετέροις ἐντεθήκατε κεφαλαίοις ἐκ τῆς αὐτῆς ἐπιστολῆς ὅτι καλῶς εἶπεν δύο φύσεις, μίαν ἐξουσίαν, ἓν πρόσωπον, καὶ ἐν τούτωι τὴν πονηρίαν τοῦ γράψαντος τὴν ἐπιστολὴν διελέγξωμεν. ὁ γὰρ μὴ ὁμολογῶν ὅτι αὐτὸς ὁ θεὸς λόγος σαρκωθεὶς ἐκ τῆς παρθένου ἐνηνθρώπησεν, τίνος τὰς δύο φύσεις λέγει; ἀλλὰ πρόδηλον ὅτι ἀντὶ προσώπων τὰς δύο φύσεις λαμβάνει κατὰ Νεστόριον καὶ Θεόδωρον, οὓς ἐπαινεῖ ἡ ἀσεβὴς αὕτη ἐπιστολή. εἰ γὰρ καὶ ἓν πρόσωπον καὶ ἕνα υἱὸν δοκεῖ λέγειν ἡ ἐπιστολή, τοῦτο καὶ Θεόδωρος καὶ Νεστόριος λέγουσιν, τὸν Χριστὸν ἄνθρωπον μόνον λέγοντες ἐπέχειν τὸ πρόσωπον τοῦ θεοῦ λόγου καὶ ἔχειν τὴν ἀξίαν καὶ τὴν τιμὴν τοῦ θεοῦ λόγου καὶ τὴν χάριν τῆς υἱοθεσίας καὶ εἰς τόπον αὐτοῦ προσκυνεῖσθαι. καὶ διὰ τοῦτο ὑποκρίνονται λέγειν ἕνα υἱὸν καὶ ἓν πρόσωπον τοῦ λόγου καὶ τοῦ Χριστοῦ κοινωνοῦντος μόνωι τῶι ὀνόματι τῆς υἱότητος. τοῦτο δὲ δείκνυται φανερῶς ἐκ τοῦ λέγειν τὴν ἐπιστολὴν τῶν δύο φύσεων μίαν ἐξουσίαν, ὡς καὶ ὑμεῖς ἐγράψατε. μία γὰρ ἐξουσία οὐκ ἐπὶ διαφόρων φύσεων, ἀλλ' ἐπὶ διαφόρων λέγεται προσώπων, ὅπερ ἐπὶ τῆς ἁγίας τριάδος ὁμολογοῦμεν. ὅθεν καὶ οἱ ἅγιοι πατέρες ἀνεθεμάτισαν τοὺς λέγοντας κατὰ δύναμιν ἢ ἀξίαν ἢ αὐθεντίαν ἢ σχέσιν ἢ τιμὴν ἡνῶσθαι τῶι λόγωι τὸν ἄνθρωπον καὶ μὴ ὁμολογοῦντας καθ' ὑπόστασιν τῶν δύο φύσεων τὴν ἕνωσιν γεγενῆσθαι. ὅπως δὲ καὶ τοῦτο ὀρθῶς εἰρημένον τοῖς ἁγίοις πατράσι περὶ διαφορᾶς τῶν δύο φύσεων οἱ τὰ Νεστορίου δοξάζοντες, ὧν τῆς ἀπιστίας ἀρχηγός ἐστι Θεόδωρος, ἀσεβῶς ἐκλαμβάνουσι τὰς φύσεις ἀντὶ προσώπων λέγοντες καὶ προσώπων κατὰ σχέσιν ἕνωσιν πρεσβεύοντες ἓν πρόσωπον ὑποκρίνονται 1071 15 20 Act. Conc. II 1 p. 392, 1 25 l. c. p. 391, 23 30 35 40

35–37 cf. Cyrilli anathematismi III. II [Act. Conc. I, 1 1 p. 40, 25–30]
M
7 ταπεινώτερον M

λέγειν, αὐτὸς ὁ ἀσεβὴς Θεόδωρος δείκνυσιν ἐν τῶι τετάρτωι λόγωι τῶν κατὰ Ἀπολλιναρίου τοῦ αἱρετικοῦ γράφων οὕτως

Αὐτάρκως δὴ τὸ διάφορον τῶν φύσεων ἡμῖν ὑποδείκνυσι διὰ τούτων, εἴ γε τὸν μὲν ἐκπλήττεται **50**
ὡς δι' ὑπερβολὴν φιλανθρωπίας ἐλόμενον μνήμην τε καὶ ἐπίσκεψιν ποιήσασθαι τοῦ οὕτως εὐτε-
λοῦς, τὸν δὲ μακαριστὸν ἡγεῖται ὡς τοιούτων ἠξιωμένον. ἀλλὰ γὰρ οὕτω μὲν τήν τε διαίρεσιν
τῶν φύσεων ποιεῖται καὶ μὴν καὶ τὴν διαφορὰν τῆς τε τοῦ λαβόντος φύσεως καὶ τῆς τοῦ ληφθέντος
ἡμῖν ὑποδείκνυσιν ἡ θεία γραφή· φροντίζουσα δὲ τοῦ καὶ τὴν ἕνωσιν ἡμῖν ὑποδεικνύναι ἣ τῶι
ληφθέντι πρὸς τὸν λαβόντα προσγέγονεν, λέγει πολλάκις καθ' ἕνωσιν τὰ ἑκάτερα τῶν φύσεων
1073 ἰδιαζόντως προσόντα ὡς ἂν τὴν πρὸς τὸν λαβόντα ἕνωσιν τοῦ ληφθέντος ἡμῖν παραδηλώσειεν ὅσα
τε τούτωι ἐκ τῆς πρὸς ἐκεῖνον γέγονεν συναφείας.

Ἀποδείξαντες τοίνυν τὸν δυσσεβῆ Θεόδωρον τὰς φύσεις ἀντὶ προσώπων λέγοντα ἔτι μείζονα **51**
προαγάγωμεν αὐτοῦ βλασφημίαν διελέγχουσαν αὐτὸν ποίαν λέγει τὴν ἕνωσιν, πρὸς κατάκρισιν
τῶν ἐκδικούντων αὐτόν. ἐν γὰρ τῶι περὶ ἐνανθρωπήσεως ὀγδόωι λόγωι οὕτω λέγει

Πρόδηλον δὲ ὡς τὸ τῆς ἑνώσεως ἐφαρμόζει· διὰ γὰρ ταύτης συναχθεῖσαι αἱ φύσεις ἓν πρόσω- **52**
πον κατὰ τὴν ἕνωσιν ἀπετέλεσαν, ὥστε ὅπερ ὁ κύριος ἐπί τε τοῦ ἀνδρὸς καὶ τῆς γυναικός φησιν
Mt. 19, 6 ὥστε οὐκέτι εἰσὶν δύο, ἀλλὰ σὰρξ μία, εἴποιμεν ἂν καὶ ἡμεῖς εἰκότως κατὰ τὸν τῆς ἑνώσεως
λόγον· ὥστε οὐκέτι εἰσὶν δύο πρόσωπα, ἀλλ' ἕν, δηλονότι τῶν φύσεων διακεκριμένων. ὥσπερ
γὰρ ἐκεῖ οὐ λυμαίνεται τῶι ἀριθμῶι τῆς δυάδος τὸ μίαν λέγεσθαι τὴν σάρκα (πρόδηλον γὰρ
καθ' ὃ μία λέγεται), οὕτως κἀνταῦθα οὐ λυμαίνεται τῆι τῶν φύσεων διαφορᾶι τοῦ προσώπου ἡ
ἕνωσις. ὅταν μὲν γὰρ τὰς φύσεις διακρίνωμεν, τελείαν τὴν φύσιν τοῦ θεοῦ λόγου φαμὲν καὶ
τέλειον τὸ πρόσωπον (οὐδὲ γὰρ ἀπρόσωπον ἔστιν ὑπόστασιν εἰπεῖν), τελείαν δὲ καὶ τὴν τοῦ ἀν-
θρώπου φύσιν καὶ τὸ πρόσωπον ὁμοίως· ὅταν μέντοι ἐπὶ τὴν συνάφειαν ἴδωμεν, ἓν πρόσωπον
τότε φαμέν.

Ταῦτα ἡμεῖς, εἰ καὶ φρικτόν ἐστι λέγειν Χριστιανοῖς, ὅμως διὰ τὴν μανίαν τῶν ἐκδικούντων **53**
Θεόδωρον καὶ τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν προαγαγεῖν ἠναγκάσθημεν ἵλεω τὸν θεὸν ἡμῖν παρα-
καλοῦντες γενέσθαι, δι' ὧν ἁπάντων ἀποδέδεικται ὅτι πάσης τῆς Θεοδώρου ἀσεβείας μεστή
ἐστιν ἡ κατάρατος ἐκείνη ἐπιστολή.

Καὶ ταῦτα μὲν ἅπαντα ἀπεκρινάμεθα πρὸς τὰ τῶι ὑμετέρωι κεφαλαιογραφίωι περιεχόμενα, δι' **54**
ὧν ἐσπουδάσατε τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν ἐκδικῆσαι καὶ διὰ ταύτης τὴν Θεοδώρου καὶ Νε-
στορίου κακοδοξίαν ἀνανεώσασθαι, ὧν τὴν ἀσέβειαν ἡ αὐτὴ ἐπιστολὴ ἐπαινεῖ· ἐπειδὴ δὲ πολλὰ τῆς
μνημονευθείσης ἀσεβοῦς ἐπιστολῆς τῆς πρὸς Μάριν τὸν αἱρετικὸν γεγραμμένης παραλελοίπατε
καὶ οὐκ ἐτολμήσατε ταῦτα τοῖς ὑμετέροις κεφαλαίοις ἐνθεῖναι, ἵνα μὴ καὶ ἐκ τούτων τὴν ἐξ ὑμῶν
ἐκδικουμένην ἀσέβειαν ὁ παρ' ὑμῖν τῶν Χριστιανῶν μάθηι λαός, ἀναγκαῖον ἐνομίσαμεν εἶναι καὶ
34 ταῦτα διὰ βραχέων φανερῶσαι. περιέχεται γὰρ τοῖς παρ' ὑμῶν παραλελειμμένοις ῥήμασι τῆς ἀσε-
Act. Conc. II 1 p. 392, 6. 7 βοῦς ἐκείνης ἐπιστολῆς ὅτι Κύριλλος τὰς ἀκοὰς πάντων τῶν ἐπισκόπων τῶν ἐν τῆι κατ' Ἔφεσον
συνόδωι συνελθόντων τῶι φαρμάκωι τῶι πηροῦντι τοὺς ὀφθαλμοὺς τῶν σοφῶν κατέσχεν, εὗρεν
l. c. p. 392, 9 δὲ ἀφορμὴν ἐκ τοῦ κατὰ Νεστορίου μίσους καὶ ὅτι καθεῖλε τῆς ἐπισκοπῆς Νεστόριον ἡ ἐν Ἐφέσωι
σύνοδος κρίσεως καὶ ζητήσεως μὴ γενομένης. καὶ πάλιν ἐν τῆι αὐτῆι ἐπιστολῆι περιέχεται ὅτι

14–23 = Conc. Const. coll. 2 ecl. 29 [L V 445. M VIIII 215], Leont. 6 15–23 = l. c. coll. 6 [L V 547. M VIIII 344]

M

5 ἠξιωμένων M 8 κατένωσιν M 15 ἀπετέλεσεν M 19 τῆι — διαφορᾶι Leont. τὴν — διαφορὰν M 22 εἴδωμεν M ἀπίδωμεν Leont.

τὰ δώδεκα κεφάλαια τὰ παρὰ Κυρίλλου γραφέντα ἐναντία ὄντα τῆς ὀρθῆς πίστεως προέθηκαν οἱ l. c. p. 392, 11–13
ἐν Ἐφέσωι συναχθέντες ἐπίσκοποι καὶ ἐβεβαίωσαν καὶ συνήινεσαν αὐτοῖς ὡς τῆι ὀρθῆι πίστει
συνάιδουσιν καὶ ὅτι Νεστόριος ἐπειδὴ ἐμισεῖτο ἐν τῆι ἰδίαι πόλει καὶ παρὰ τῶν πρώτων αὐτῆς, l. c. p. 392, 16. 17
ὑποστρέψαι ἐκεῖ οὐκ ἠδυνήθη. καὶ διὰ πάντων ὁ γράψας τὴν αὐτὴν ἀσεβῆ ἐπιστολὴν οὐ μόνον *4*
τοὺς αἱρετικοὺς ἐκδικεῖ καὶ ἐπαινεῖ, ἀλλὰ καὶ τοὺς ὀρθοδόξους ψέγει. περὶ γὰρ τοῦ μακαρίου 1075
Ῥαββούλου τοῦ Ἐδέσσης ἐπισκόπου, ἀνδρὸς ἐν ἐπισκόποις ἐπισήμου, οὗ τὸ μνῆμα θαύματα
ποιεῖ μέχρι τῆς σήμερον, οὕτως φησὶν ἐν τῆι αὐτῆι ἀσεβεῖ ἐπιστολῆι ὅτι ὁ τύραννος τῆς ἡμετέρας l. c. p. 392, 26–33
πόλεως, ὃν οὐδὲ αὐτὸς ἀγνοεῖς, προφάσει τῆς πίστεως οὐ μόνον τοὺς συζῶντας αὐτῶι διώκει, ἀλλὰ
καὶ τοὺς ἤδη πάλαι πρὸς τὸν κύριον ἀπελθόντας, ὧν εἷς ἐστιν ὁ μακάριος Θεόδωρος ὁ κῆρυξ τῆς
ἀληθείας καὶ διδάσκαλος τῆς ἐκκλησίας, ὃς οὐ μόνον ἐν τῆι οἰκείαι ζωῆι τοὺς αἱρετικοὺς ἐκολά- *10*
φισεν διὰ τῆς οἰκείας πίστεως, ἀλλὰ καὶ μετὰ θάνατον ὅπλα πνευματικὰ τοῖς ἰδίοις βιβλίοις τοῖς
τῆς ἐκκλησίας τέκνοις κατέλειψεν, ὡς καὶ ἡ σὴ εὐλάβεια μετ' αὐτοῦ λαλήσασα γινώσκει καὶ ἐκ
τῶν παρ' αὐτοῦ συγγραφέντων ἐπίστευσε, τοῦτον ἐτόλμησεν ὁ πάντα τολμῶν ἐπ' ἐκκλησίας φανε-
ρῶς ἀναθεματίσαι. καὶ πάλιν περιέχεται τῆι αὐτῆι ἀσεβεῖ ἐπιστολῆι πρὸς ὕβριν τοῦ ἐν ἁγίοις *14*
Κυρίλλου ὅτι ἡ καρδία τοῦ Αἰγυπτίου ἐμαλάχθη καὶ χωρὶς σκύλσεως τῆι ὀρθῆι πίστει συνήινεσε l. c. p. 393, 13. 14
καὶ ὅτι ⟨οἱ⟩ ἀτάκτως κατὰ τῶν ζώντων καὶ τῶν τελευτησάντων ὁρμήσαντες ἐν αἰσχύνηι εἰσὶν l. c. p. 393, 21–23
ὑπὲρ τῶν ἰδίων ἀπολογούμενοι πταισμάτων καὶ ἐναντία τῆι πρώτηι αὐτῶν διδασκαλίαι διδάσκοντες
καὶ ὅτι χρὴ ὁμολογεῖν εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν αὐτῶι. καὶ ταῦτα μὲν ἐγκείμενα l. c. p. 393, 24. 25
τῆι μνημονευθείσηι ἐπιστολῆι φανερὰ ὑμῖν ἐσπουδάσαμεν καταστῆσαι, ἵνα κἂν οὕτως ὀψέ ποτε
τὰ ὀρθὰ ἐπιλεγόμενοι ἀναχωρήσητε ταύτης τῆς κακοδοξίας· τοσαύτη δέ ἐστιν ἡ τῆς μυσαρᾶς ἐπι- *20*
στολῆς ἀσέβεια, ὅτι οὐδὲ ὑμεῖς ἐτολμήσατε πάντα, ὡς εἴρηται, τὰ περιεχόμενα αὐτῆι τοῖς παρ'
ὑμῶν πεμφθεῖσιν κεφαλαίοις ἐνθεῖναι, εἰ καί τινα ἐξ αὐτῶν διεστραμμένηι ἐννοίαι ἑρμηνεύειν
ἐπειράθητε. τίς γὰρ Χριστιανοῖς δύναται συναριθμεῖσθαι μὴ λέγων ἀσεβῆ τὴν ἐπιστολὴν ἐν ἧι
τοιαῦται καὶ τοσαῦται περιέχονται βλασφημίαι; ὁ γὰρ τὴν ἐπιστολὴν ἐκδικῶν τὴν τὸν ἅγιον Κύριλ-
λον αἱρετικὸν καλοῦσαν καὶ τὴν ἐν Ἐφέσωι πρώτην σύνοδον ἐκβάλλουσαν φανερῶς Νεστόριον *25*
καὶ τὴν αὐτοῦ ἀσέβειαν δέχεται, ὃν ἡ αὐτὴ ἐπιστολὴ λέγει δίχα κρίσεως καὶ ζητήσεως καταδικα-
σθῆναι, καὶ οὐ διὰ τὰ δόγματα, ἀλλὰ διὰ τὸ μῖσος τῶν πολιτῶν εἰς τὴν ἐκκλησίαν μὴ ὑποστρέψαι.
καὶ οὐ μόνον εἰς τοῦτο ἁμαρτάνει ὁ τὴν ἀσεβῆ ἐπιστολὴν ἐκδικῶν, ἀλλὰ καὶ Κελεστῖνον τὸν
πάπαν καταδικάζει τὸν εἰπόντα περὶ Κυρίλλου ὅτι ἥ πίστις Κυρίλλου ἡμετέρα πίστις ἐστίν· *30*
καὶ ὁ τὰ δώδεκα κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου ἐναντία τῆι ὀρθῆι πίστει λέγων ὑπάρχειν
οὐ μόνον αὐτὸν τὸν ἐν ἁγίοις Κύριλλον καὶ τὸν ἐν μακαρίαι τῆι μνήμηι Κελεστῖνον καὶ
τὴν πρώτην ἐν Ἐφέσωι σύνοδον κατακρίνει, ἀλλὰ καὶ τὴν ἐν Καλχηδόνι σύνοδον καταδικάζει
τὴν πατέρα καὶ διδάσκαλον ἴδιον Κύριλλον ἐπιγραψαμένην, ὁπότε καὶ Λέοντα τὸν ἐν ἁγίοις
πάπαν Ῥώμης ὁμοίως καταδικάζει, ὃς πρὸς τὴν ἐν Καλχηδόνι σύνοδον γράφων εἶπεν περὶ
τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου· οἱ ὅροι οἱ προενεχθέντες κατὰ Νεστορίου *35*
παρὰ Κυρίλλου τοῦ τῆς ἁγίας μνήμης ἐν βεβαίωι μενέτωσαν. πάσης δὲ ἀσεβείας πεπληρωμένη
ἡ μυσαρὰ ἐπιστολὴ ἓν μόνον τῶν ἀληθῶν ἀποκρύψαι οὐκ ἴσχυσεν ὅτι ἀπὸ ὀρθοδόξων καὶ ἁγίων
ἀνθρώπων Θεόδωρος ἐπ' ἐκκλησίας καὶ μετὰ θάνατον ἀνεθεματίσθη, ὃν ἀσεβῆ Θεόδωρον διδάσκα- 1077
λον τῆς ἐκκλησίας καὶ κήρυκα τῆς ἀληθείας καλεῖ ἡ αὐτὴ ἀσεβὴς ἐπιστολὴ τὸν ὑπὲρ πάντας τοὺς l. c. p. 392, 28. 29
αἱρετικοὺς βλασφημήσαντα. οὗτινος τῶν βλασφημιῶν μέρος ἐλάχιστον δι' ἑτέρας ὑμῖν ἐπι- *40*

28. 29 cf. Act. Conc. I 1, 1 p. 77, 4 33 haec ipsa epitheta definitioni Chalcedonensi non insunt, cf. Act. Conc. II 1 p. 325, 8. 9 35. 36 Cyrilli mentio non fit in Leon. ep. 64

M

6 ἐδέσης M 16 οἱ Act. Conc. om. M

στολῆς ἐπ᾽ αὐτῶν ὑμῖν τῶν ῥημάτων ἤδη ἐφανερώσαμεν ἀποδείξαντες καὶ τί οἱ ἅγιοι πατέρες Κύριλλος καὶ Πρόκλος καὶ Ῥαββούλας κατὰ Θεοδώρου καὶ τῶν ἀσεβῶν αὐτοῦ λόγων ἔγραψαν κατακρίναντες αὐτὸν μετὰ τῆς αὐτοῦ ἀσεβείας. τοιαῦται γὰρ αἱ Θεοδώρου βλασφημίαι εἰσίν, ὅτι οὐδὲ ὑμεῖς ἐτολμήσατε ταύτας ἐκδικῆσαι, εἰ καὶ τὸν ἐκθέμενον αὐτὰς ἐκδικεῖτε, φανεροῦ ὄντος ὅτι οὐδεὶς τὰ κακὰ κατακρίνων τὸν ἐκθέμενον αὐτὰ ἐκδικεῖ, πλὴν εἰ μὴ ἐκεῖνον τὸν μετανοήσαντα καὶ τῆς ἰδίας ἀποστάντα πλάνης καὶ ταῦτα καταδικάσαντα. ταῖς δὲ ἄλλαις ὕβρεσι ταῖς ἐν τῇ αὐτῇ ἐπιστολῇ κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου ῥηθείσαις πρόσκειται κἀκεῖνο ὅτι ἐν αἰσχύνῃ αὐτός [ἐν ἁγίοις Κύριλλος] ἐστι, καὶ ὅτι μεταμεληθεὶς ἐναντία τῇ πρώτῃ αὐτοῦ διδασκαλίαι ἐξέθετο. ἐξ ὧν ὁ τὴν ἐπιστολὴν ἐκείνην γράψας δείκνυται πάσης ἀνοίας μεστός. ποῦ γὰρ ὁ ἐν ἁγίοις Κύριλλος ἐναντία τῇ πρώτῃ αὐτοῦ διδασκαλίαι ἐξέθετο ἢ μετενόησεν; ἢ πῶς ἡ ἐν Καλχηδόνι ἁγία σύνοδος πατέρα τοῦτον ἐπεγράφετο, εἰ μετεμελήθη καθ᾽ ἃ τῇ ἐπιστολῇ περιέχεται; ὁ γὰρ μετανοῶν οὐ τοῖς διδασκάλοις συναριθμεῖται, ἀλλ᾽ ὡς ἀπὸ πλάνης ὑποστρέψας δεκτέος ἐστί. τέλος δὲ τοῦτο αὐτῆς ὁ γράψας τὴν ἐπιστολὴν ἐποιήσατο λέγων ὅτι δεῖ ὁμολογεῖν εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῶι ναῶι. ἐκ τούτων δὲ ὅσον ἦκεν εἰς τὴν ἀσέβειαν τῆς ἐπιστολῆς καὶ τοὺς ἐκδικοῦντας αὐτὴν πᾶσα ἡ ὀρθὴ πίστις ἀνατρέπεται. ἡ γὰρ καθολικὴ ἐκκλησία ἕνα κύριον Ἰησοῦν Χριστὸν μονογενῆ υἱὸν τοῦ θεοῦ ὁμολογεῖ καὶ οὐχὶ εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῶι ναῶι πιστεύειν ἢ ὁμολογεῖν διδάσκει. ὅθεν καὶ τοῖς τοῦ ἁγίου ἀξιουμένοις βαπτίσματος παραδίδοται ὁμολογεῖν καὶ πιστεύειν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ καὶ εἰς τὸ ἅγιον πνεῦμα, οὐ μὴν εἰς δύο υἱοὺς ἢ δύο Χριστούς, ὅπερ ἡ πρὸς Μάριν τὸν Πέρσην ἐπιστολὴ δηλοῖ λέγουσα χρῆναι ὁμολογεῖν εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῶι ναῶι καὶ ἐκ τούτου τέταρτον πρόσωπον τῆι ἁγίαι τριάδι ἐπεισάγουσα.

Ἐκ τούτων τοίνυν ἁπάντων δέδεικται ὅτι ἀλλότριός ἐστι τῆς ὀρθοδόξου πίστεως ὁ τὴν προ- 55
ειρημένην ἀσεβῆ ἐπιστολὴν ἐπαινῶν ἢ ἐκδικῶν. ἐπειδὴ δὲ λέγετε ὡς ὁ ἐν ἁγίοις Κύριλλος διὰ τοῦτο παρὰ τῶν Ἀνατολικῶν ἐδέχθη, ὅτι τὰ ἴδια κεφάλαια ἑρμήνευσεν, οὐ θαυμάζομεν ὑμᾶς ὅτι καὶ ἐν τοῖς πεμφθεῖσι παρ᾽ ὑμῶν κεφαλαίοις οὕτως ἠπατήθητε οἱ καὶ αὐτὰ τὰ ἐν τῇι κατ᾽ Ἔφεσον πρώτηι συνόδωι γεγραμμένα ἠγνοηκότες. καὶ γὰρ καὶ ὁ ἐν ἁγίοις Κελεστῖνος καὶ ἡ ἐν Ἐφέσωι πρώτη σύνοδος καὶ ὁ ἐν ἁγίοις Λέων καὶ ἡ ἐν Καλχηδόνι ἁγία σύνοδος αὐτὰ καθ᾽ αὐτὰ τὰ κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ ἐδέξαντο καὶ ἐβεβαίωσαν καὶ οὐδεμίαν τούτων ἑρμηνείαν ἐζήτησαν. ἡ γὰρ ἑρμηνεία οὐ διὰ τοὺς ὀρθοδόξους ἐγένετο, ἀλλὰ διὰ τοὺς αἱρετικούς, οἳ Νεστόριον ἐκδικοῦντες τοῖς μνημονευθεῖσι κεφαλαίοις ἀντέλεγον. ὡς γὰρ ὑμεῖς λέγετε,
1079 οὔτε τὰ ἅγια εὐαγγέλια οὔτε ὁ ἀπόστολος οὔτε αἱ λοιπαὶ θεῖαι γραφαὶ δεκταί εἰσιν, εἰ μὴ ὅτι οἱ ἅγιοι πατέρες ταύτας ἑρμήνευσαν. ἐρυθριᾶν δὲ ὀφείλετε λέγοντες ὅτι οἱ Ἀνατολικοὶ οἱ Νεστόριον ἐκδικοῦντες ἐδέξαντο τὸν ἐν ἁγίοις Κύριλλον τὰ ἴδια κεφάλαια ἑρμηνεύοντα. ἐκ τοῦ ἐναντίου γὰρ ἡ ἀποστολικὴ καθέδρα Ῥώμης καὶ Κύριλλος ὁ ἐν ἁγίοις τοὺς Ἀνατολικοὺς ἐπισκόπους κατακρίναντας Νεστόριον καὶ τὴν αὐτοῦ ἀσέβειαν εἰς κοινωνίαν ἐδέξαντο, ὡς καὶ ὁ ἐν ἁγίοις πάπας Ῥώμης Ξύστος γράφων μετὰ τῆς ἰδίας συνόδου πρὸς τὸν ἐν ἁγίοις Κύριλλον καὶ τοὺς καμάτους ἐπαινῶν τοὺς αὐτοῦ τοὺς ὑπὲρ τῆς ἑνώσεως γενομένους μεταξὺ ἄλλων οὕτως εἶπεν

---

24. 25 cf. Act. Conc. II 1 p. 389, 36. 37. 390, 4. 14. 24. 25 28. 29 neque Leo neque synodus Chalcedonensis [cf. Act. Conc. II 1 p. 279, 3–11] Cyrilli capitula receperunt M

2 ῥαβουλλασ M 3 αὐτοῦ scripsi αὐτῆσ M 4 ἐκδικεῖται M 7 ἐναισχύνησ M 8 ἐν ἁγίοις Κύριλλος deleui

56 Ἐπανῆλθον πρὸς ἡμᾶς οἱ ἀδελφοί, πρὸς ἡμᾶς φημί, οἳ τὴν νόσον κοινῇ σπουδῇ ἀποδιώξαντες τῆς τῶν ψυχῶν ἐφροντίσαμεν θεραπείας.

57 Καὶ πάλιν· εὐφραίνου, ἀδελφὲ ἀγαπητέ, καὶ πρὸς ἡμᾶς ἐπισυναχθέντων τῶν ἀδελφῶν νικητὴς ἀγαλλιῶ. ἐζήτει ἡ ἐκκλησία οὓς ἀπέλαβεν. εἰ γὰρ μηδένα τῶν μικρῶν ἀπολέσθαι θέλομεν, Mt. 18, 14
πόσωι μᾶλλον δεῖ χαίρειν ἡμᾶς ἐπὶ τῆι ὑγείαι τῶν ἡγουμένων; ἀνέγνωμεν πόσην χαρὰν παρέσχεν 5
ἓν πρόβατον ἀνακομισθέν, καὶ διὰ τοῦτο ἐννοεῖν ὀφείλομεν πόσον ἔπαινον ἔχει τοσούτους ποιμένας συγκαλέσασθαι. ἐν ἑκάστωι ἀγέλαι θεωροῦνται, οὐχ ἑνὸς ἐνταῦθα τὸ πρᾶγμα ζητεῖται ὁσάκις πράττεται περὶ τῆς ὑγείας τῶν πολλῶν.

58 Καὶ πάλιν· χαίρωμεν ἐπὶ τῶι καλεῖσθαι τὸν τῆς Ἀντιοχέων ἐκκλησίας ἱερέα παρὰ τῆς σῆς ἁγιωσύνης ἤδη νῦν εὐλαβέστατον ἄνδρα καὶ κύριον· καὶ εἰκότως καλεῖται κύριος, ἐπειδὴ τὸν κοινὸν 10
κύριον ἐπέγνω, ὃς τὸ τῆς σαρκώσεως αὐτοῦ μυστήριον ὀρθοδόξωι φωνῆι μεθ' ἡμῶν ὁμολογεῖ.

59 Καὶ πάλιν· εὐκταῖαί εἰσι διὰ παντὸς αἱ θλίψεις τῶι τὴν πίστιν κηρύσσοντι. καὶ γὰρ τούτοις μετὰ μακαρισμοῦ πλούσιος μισθὸς ἐν τοῖς οὐρανοῖς ἡτοίμασται οἷς ὑπὲρ τῆς δικαιοσύνης ὕβρεις, Mt. 5, 11. 12
διωγμοὺς καὶ πᾶν κακὸν προστέτακται ὑπομένειν. ὑπέμεινας τὸ ψεῦδος, ἵνα νικῆσαι ποιήσηις 15
τὴν ἀλήθειαν. καὶ διὰ τοῦτο νῦν κατεπανίστασθαι χρὴ τοῦ ψεύδους, ἐπειδὴ μηδεὶς ἀπώλετο
τῆι ἀληθείαι.

60 Καὶ πάλιν· ταῦτα πρὸς τὴν σὴν εὐλάβειαν ἡ μετ' ἐμοῦ ἁγία ἀδελφότης ἀντέγραψεν ἀποδεχομένη τοὺς σοὺς ἐν ἅπασι καὶ βεβαιοῦσα καμάτους, οἵτινες βαρεῖς ἢ πικροὶ οὐ γεγόνασιν, ἐπειδὴ
ὑπὲρ ἐκείνου κατεβλήθησαν, οὗτινος τὸ ἐλαφρὸν φορτίον καὶ τὸν χρηστὸν ζυγὸν βαστάζομεν. Mt. 11, 30

61 Καὶ ταῦτα μὲν ὁ ἐν ἁγίοις Ξύστος πρὸς τὸν ἐν ἁγίοις Κύριλλον περὶ τῶν Ἀνατολικῶν ἔγραψεν· 20
ἐπειδὴ δὲ ἀσυνέτως καὶ τοῦτο εἰρήκατε ὅτι βλάπτει τὴν ὑπόληψιν τῆς ἁγίας ἐν Καλχηδόνι συνόδου ἡ κατάκρισις τῆς ἀσεβοῦς πρὸς Μάριν ἐπιστολῆς, ἐρωτῶμεν ὑμᾶς ποίωι λόγωι τοῦτο ὑπεμείνατε γράφειν. μὴ ἄρα νομίζετε τὴν ἔκθεσιν τῆς ἁγίας ἐν Καλχηδόνι συνόδου ὅμοιόν τι τῆς ἀσεβοῦς περιέχειν ἐπιστολῆς; ἀλλὰ μὴ γένοιτο Χριστιανὸν τοῦτο εἰπεῖν. κατανοήσατε γὰρ
ὅτι πάντα τὰ ἐν τῆι ἀσεβεῖ ἐκείνηι ἐπιστολῆι καὶ τοῖς Θεοδώρου συγγράμμασι περιεχόμενα ἐναν- 25
τία εἰσὶ τῶι ὅρωι τῆς κατὰ Καλχηδόνα συνόδου τῶι περὶ τῆς πίστεως δεδομένωι. Θεόδωρος
γὰρ καὶ ἡ ἐπιστολὴ ἄλλον λέγουσιν εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστόν, ἡ δὲ ἁγία κατὰ Act. Conc. II 1
Καλχηδόνα σύνοδος ἕνα λέγει τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν θεὸν λόγον σαρκωθέντα καὶ p. 325, 23. 31
ἀτρέπτως ἐνανθρωπήσαντα. ἡ ἐπιστολὴ καὶ Θεόδωρος οὐχ ὁμολογοῦσι τὸν θεὸν λόγον σαρκω- 30
θῆναι ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας καὶ τεχθῆναι ἐξ αὐτῆς καὶ διὰ
τοῦτο ἀρνοῦνται θεοτόκον εἶναι τὴν ἁγίαν παρθένον Μαρίαν, οἱ δὲ ἅγιοι πατέρες οἱ ἐν Καλχηδόνι 1081
συνελθόντες συνοδικῶς θεοτόκον εἶναι τὴν ἁγίαν παρθένον Μαρίαν ὡμολόγησαν. Θεόδωρος
ὁ ἀσεβὴς καὶ ἡ ἀνώνυμος ἐπιστολὴ δύο πρόσωπα λέγοντες κατὰ σχετικὴν ἕνωσιν ἓν πρόσωπον
ἀναπλάττουσιν, ἡ σύνοδος δὲ τῶν δύο φύσεων τὴν καθ' ὑπόστασιν ἕνωσιν λέγουσα ἓν κηρύττει Act. Conc. II 1
πρόσωπον ἤτοι μίαν ὑπόστασιν Χριστοῦ τοῦ μονογενοῦς θεοῦ λόγου. πάλιν ἡ ἀσεβὴς ἐκείνη p. 325, 31–33 35
ἐπιστολὴ καταδικάζει τὴν ἐν Ἐφέσωι πρώτην σύνοδον καὶ τὸν ἐν ἁγίοις Κύριλλον καὶ ἀσεβῆ τὰ αὐτοῦ
κεφάλαια ὀνομάζει, Νεστόριον δὲ καὶ Θεόδωρον ἐκδικεῖ καὶ ἐπαινεῖ· ἡ δὲ ἐν Καλχηδόνι σύνοδος
διὰ πάντων ἀκολουθεῖ τῆι αὐτῆι πρώτηι ἐν Ἐφέσωι συνόδωι καὶ πατέρα καὶ διδάσκαλον Κύριλλον
ἐπιγράφεται καὶ τὴν συνοδικὴν αὐτοῦ ἐπιστολὴν ἐν ἧι τὰ δώδεκα κεφάλαια ὑποτέτακται, βεβαιοῖ,

1–2 Latine habentur Act. Conc. I 2 p. 107, 30. 31 3–8 ibid. p. 107, 37–108, 3 9–12 ibid. p. 108, 12–15 12–16 ibid. p. 108, 18–22 17–19 ibid. p. 108, 27–29 37–39 cf. quae ad p. 61, 33 adnotaui

M

4 θέλωμεν M 5 υγία M 8 ὑγίασ M 12 εὐκτέαι M

Νεστόριον δὲ τὸν ἀσεβῆ κατακρίνει καὶ πρὸς τούτοις τὸ Ἰουδαικὸν σύμβολον τὸ ὑπὸ Θεοδώρου
Act. Conc. I 1, 7 p. 97, 25 sq. συμπεπλασμένον τὸ καὶ ἐν τῇι κατ' Ἔφεσον πρώτηι συνόδωι κατακριθὲν καὶ ἐν αὐτῇι τῇι ἐν Καλχηδόνι συνόδωι μετὰ ταῦτα προκομισθὲν μετὰ τοῦ γράψαντος αὐτὸ παραπλησίως καταδικάζει. ταῦτα δὲ ἐν τοῖς ὁρισθεῖσιν ἡ ἁγία ἐν Καλχηδόνι σύνοδος ἐξέθετο, οὐ καινίζουσά τι περὶ τὴν ὀρθόδοξον πίστιν, ἀλλὰ διὰ πάντων ἀκολουθοῦσα τῇι ὁμολογίαι τῆς πίστεως ἣν ὁ κύριος διὰ τῶν ἁγίων ἀποστόλων ἐδωρήσατο καὶ οἱ ἅγιοι ἀπόστολοι ἐκήρυξαν καὶ οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι πατέρες παραδεδώκασι τῇι τοῦ θεοῦ ἐκκλησίαι καὶ οἱ ἑκατὸν πεντήκοντα πατέρες ἐβεβαίωσαν σαφηνίσαντες τὰ περὶ τῆς θεότητος τοῦ ἁγίου πνεύματος. ταύτηι δὲ καὶ οἱ ἐν Ἐφέ-
Act. Conc. II 1 p. 326, 5–11 σωι τὸ πρώην συναχθέντες ἅγιοι πατέρες ἠκολούθησαν, ἡ δὲ ἐν Καλχηδόνι ἁγία σύνοδος καὶ ἀνεθεμάτισε τοὺς ἕτερον σύμβολον ἢ ἔκθεσιν πίστεως παραδιδόντας παρὰ τὸ ὑπὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων παραδοθέν.

Οὕτως τοίνυν τῆς ἀληθείας ἐχούσης ὀψὲ γοῦν κατανοήσατε τίς ὀρθῶς τὴν ἁγίαν ἐν Καλχηδόνι **62**
σύνοδον ἐκδικεῖ, πότερον ὁ δεικνύων ὅτι τοῖς εἰρημένοις ἁγίοις πατράσιν ἀκολουθήσασα πάντα ὀρθῶς ἐξέθετο ἢ ὁ τοὺς ἀσεβεῖς τῶν αἱρετικῶν λόγους προσάπτειν σπουδάζων αὐτῇι; τοὺς γὰρ καθαρᾶι συνειδήσει καὶ ὀρθῶι σκοπῶι δεχομένους τὴν ἐν Ἐφέσωι πρώτην σύνοδον καὶ τοὺς ἁγίους πατέρας Κελεστῖνον Κύριλλον καὶ Λέοντα καὶ τὸν ὅρον τῆς ἐν Καλχηδόνι συνόδου ἀδύνατόν ἐστιν δέχεσθαι μετὰ τούτων καὶ τὴν πρὸς Μάριν μυσαρὰν ἐπιστολὴν τὴν κατὰ πάντα τούτοις ἐναντιουμένην. τίς γὰρ τοὺς διδασκάλους τῆς ἐκκλησίας καὶ τοὺς τὰ ἐναντία διδάσκοντας, ἢ τοὺς ὀρθοδόξους καὶ τοὺς αἱρετικούς, ἢ τοὺς καταδικάσαντας καὶ τοὺς κατακριθέντας ὁμοῦ δύναται δέξασθαι; ἵνα δὲ τελειότερον τὰ διὰ Ἴβαν καὶ Θεοδώρητον κεκινημένα γνῶτε, ἀναγκαῖον ἐνομίσαμεν καὶ ταῦτα ὑμῖν φανερῶσαι.

Γινώσκετε τοίνυν ὅτι κατὰ διαφόρους καιροὺς διὰ τὴν ἀσέβειαν Θεοδώρου καὶ Νεστορίου τὴν **63**
τῇι αὐτῇι ἐπιστολῇι περιεχομένην καὶ διὰ τὰς ὕβρεις τὰς κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ τῶν αὐτοῦ
24 κεφαλαίων λεχθείσας κατηγορηθέντος Ἴβα παρὰ Θεοδοσίωι τῶι τῆς εὐσεβοῦς λῆξεως βασιλεῖ καὶ
1083 παρὰ Πρόκλωι τῶι ἐν ἁγίοις ἀρχιεπισκόπωι Κωνσταντινουπόλεως καὶ παρὰ διαφόροις Ἀντιοχείας ἀρχιεπισκόποις, τελευταῖον παρὰ τοῦ αὐτοῦ βασιλέως καὶ Φλαβιανοῦ μετὰ Πρόκλον τὸν ἐν ἁγίοις ἀρχιεπισκόπου Κωνσταντινουπόλεως γενομένου ἀπενεμήθη ἡ κινουμένη δίκη κατὰ τοῦ αὐτοῦ Ἴβα Φωτίωι ἐπισκόπωι Τύρου καὶ Εὐσταθίωι ἐπισκόπωι Βηρυτοῦ, παρ' οἷς περί τε πίστεως κατηγορήθη ὁ αὐτὸς Ἴβας καὶ περὶ ὕβρεων κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου γενομένων. ἐκεῖνος δὲ
30 ἀπολογούμενος ἀπεκρίνατο μηδὲν ὑβριστικὸν μετὰ τὴν ἕνωσιν τὴν γενομένην μεταξὺ τῶν Ἀνατολικῶν καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου εἰπεῖν ἢ γράψαι κατ' αὐτοῦ. ἡ δὲ μυσαρὰ αὕτη ἐπιστολὴ ἡ προκομισθεῖσα παρὰ τῶν κατηγόρων αὐτοῦ δηλοῖ ὅτι μετὰ τὴν ἕνωσιν γέγραπται· δείκνυται τοίνυν Ἴβας ἐκ τῆς οἰκείας καταθέσεως τὴν μνημονευθεῖσαν ἐπιστολὴν ἀπαρνούμενος. ὅθεν οἱ προειρημένοι ἐπίσκοποι ὁρῶντες τὴν ἀσέβειαν τῆς ἐπιστολῆς, εἰ καὶ Ἴβας οὐχ ὡμολόγησεν ταύτην
35 ἰδίαν εἶναι, ὅμως ψῆφον ἐξήνεγκαν διὰ πάντων ἐναντίαν τῇι ἀσεβείαι τῇι ἐν τῇι αὐτῇι ἐπιστολῇι
Act. Conc. II 1 p. 374, 8. 9. 16–18 περιεχομένηι. διετύπωσαν γὰρ ὥστε Ἴβαν ἀναθεματίσαι μὲν Νεστόριον καὶ τὰ ἀσεβῆ αὐτοῦ δόγματα καὶ τοὺς ἐκδικοῦντας αὐτόν, ἅπερ ἡ ἀσεβὴς ἐπιστολὴ ἐξεδίκει, δέξασθαι δὲ ἐφίσης τῶν τριακοσίων δέκα ὀκτὼ ἁγίων πατέρων καὶ τὴν ἐν Ἐφέσωι πρώτην σύνοδον ὡς ἀπὸ ἁγίου πνεύματος συναχθεῖσαν καθ' ὁμοιότητα τῶν τριακοσίων δέκα ὀκτὼ ἁγίων πατέρων, ἥντινα ἐν Ἐφέσωι

---

2. 3 Act. Conc. II 3 p. 213, 5 sq. ex Gestis synodi Ephesenae alterius M

20 τελιώτερον M

29–31 non accurate referuntur depositiones Ibae Act. Conc. II 1 p. 390, 13–16. 22–25

34 οὐκ ομολόγησεν M

σύνοδον μετ' αὐτοῦ τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ τῶν δώδεκα αὐτοῦ κεφαλαίων ἐνυβρίζει ἡ αὐτὴ ἀσεβὴς ἐπιστολή. τὰ τοίνυν παρὰ τῶν δικαστῶν κεκριμένα μὴ πληρώσας Ἴβας τῆς ἐπισκοπῆς καθηιρέθη καὶ μετὰ ταῦτα συνήχθη ἡ ἐν Καλχηδόνι ἁγία σύνοδος, ἐν ἧι οὐδὲ ἐκλήθη Ἴβας οὐδὲ ὡς ἐπίσκοπος παραγέγονεν Νόννου ἤδη εἰς τόπον αὐτοῦ χειροτονηθέντος τοῦ καὶ κληθέντος ἐν τῆι ἁγίαι ἐν Καλχηδόνι συνόδωι. ἀλλὰ μετὰ τὸν ὅρον τὸν περὶ τῆς πίστεως δεδομένον εἰσελθὼν ὁ μνημονευθεὶς Ἴβας ἤιτησεν τὴν περὶ αὐτοῦ ὑπόθεσιν ζητηθῆναι δι' ἣν τῆς ἐπισκοπῆς καθηιρέθη, καὶ προεκόμισεν τὴν προειρημένην ψῆφον Φωτίου καὶ Εὐσταθίου. ἧς ἀναγνωσθείσης εἰσελθόντες καὶ οἱ τούτου κατήγοροι προεκόμισαν τὰ ἐν Τύρωι πεπραγμένα, ἐν οἷς περιείχετο ἡ αὐτὴ ἀσεβὴς ἐπιστολή. ἧς ἀναγνωσθείσης εἰδὼς Ἴβας ὡς εἰ ὁμολογήσοι ταύτην ἰδίαν εἶναι, διὰ τὴν ἀσέβειαν αὐτῆς κατεδικάζετο, ἐγκόψας τὴν τῶν πεπραγμένων ἀνάγνωσιν οὕτως εἶπεν· κελεύσατε ἀναγνῶναι τὰ γράμματα τῶν κληρικῶν Ἐδέσσης, ἵνα ἐξ αὐτῶν μάθητε ὅτι ἀλλότριός εἰμι τῶν ἐπαχθέντων μοι. καὶ ἀναγνωσθέντων αὐτῶν κατανοήσαντες οἱ ἐπίσκοποι τὴν ψῆφον Φωτίου καὶ Εὐσταθίου καὶ τὴν κατὰ Ἴβα γενομένην κατηγορίαν ἀπήιτησαν αὐτὸν τὰ παρὰ Φωτίου καὶ Εὐσταθίου κεκριμένα πληρῶσαι καὶ δέξασθαι τὸν ὅρον ὃν ἡ αὐτὴ ἁγία σύνοδος ἐξεφώνησεν καὶ ὑπογράψαι ἐν αὐτῶι, δι' οὗ καὶ τὴν πρώτην ἐν Ἐφέσωι σύνοδον καὶ τὸν ἐν ἁγίοις Κύριλλον καὶ τὴν αὐτοῦ διδασκαλίαν ἐδέξατο, ἅπερ ἅπαντα, ὡς εἰρήκαμεν, ἡ μυσαρὰ ἐκείνη ἐνυβρίζει ἐπιστολή. δι' ὧν ἀποδείκνυται πάντα ταῦτα τὴν ἁγίαν ἐν Καλχηδόνι σύνοδον ἐπὶ κατακρίσει καὶ ἀνατροπῆι τῆς ἀσεβοῦς ἐκείνης ἐπιστολῆς Ἴβαν παρασκευάσαι ποιῆσαι. θαυμάζομεν τοίνυν ὑμᾶς ὅτι τὴν μυσαρὰν ἐκείνην ἐπιστολὴν ἐκδικεῖτε, ἣν οὐδὲ αὐτὸς Ἴβας ἡ ἐν Τύρωι ἣ καὶ μετὰ ταῦτα ἐν τῆι ἁγίαι κατὰ Καλχηδόνα συνόδωι ἐτόλμησεν ἰδίαν εἰπεῖν ἢ ἐκδικῆσαι, ἀλλὰ καὶ τοῖς γράμμασιν τῶν κληρικῶν Ἐδέσσης καὶ τῆι ψήφωι Φωτίου καὶ Εὐσταθίου ἐχρήσατο πρὸς τὸ ἀποφυγεῖν τὴν περὶ τῆς ἀσεβοῦς ἐπιστολῆς κατ' αὐτοῦ γενομένην κατηγορίαν.

64 Πρὸς δὲ τοῖς ἄλλοις ἅπασιν τοῖς κακῶς παρ' ὑμῶν ἑρμηνευθεῖσι καὶ τὴν Εὐνομίου διαλαλιὰν τὴν περὶ Ἴβα γενομένην πρὸς ψευδῆ ἔννοιαν μετηγάγετε διαβεβαιούμενοι τὴν διαλαλιὰν Εὐνομίου ὑπὲρ τῆς ἀσεβοῦς ἐπιστολῆς γεγενῆσθαι. λέγετε γὰρ περιέχειν τὴν αὐτὴν διαλαλιὰν ὅτι ἐν τοῖς ἀνωτέροις τῆς ἐπιστολῆς ὑβρίσας Ἴβας τὸν ἐν ἁγίοις Κύριλλον ἐν τοῖς τελευταίοις ἑαυτὸν ἐπανωρθώσατο, ὁπότε δῆλόν ἐστι τὴν Εὐνομίου διαλαλιὰν οὐ περὶ τῆς ἀσεβοῦς ἐκείνης ἐπιστολῆς, ἀλλὰ περὶ τῆς καταθέσεως Ἴβα τῆς ἐν Τύρωι γενομένης παρὰ Φωτίωι καὶ Εὐσταθίωι εἰρῆσθαι. ἐν γὰρ τοῖς παρ' αὐτοῖς πεπραγμένοις φανερῶς Ἴβας ὡμολόγησεν, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, πρὸ τούτου μὲν μετὰ τῶν ἄλλων Ἀνατολικῶν ἐπισκόπων ὑβρίσαι τὸν ἐν ἁγίοις Κύριλλον, ὅτε μεταξὺ αὐτῶν διχόνοια ἦν, μετὰ δὲ τὴν ἕνωσιν τὴν μεταξὺ αὐτῶν γενομένην μηδὲν ὑβριστικὸν εἰπεῖν κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου. ἐξ ἧς ὁμολογίας εὑρίσκων Εὐνόμιος Ἴβαν πρῶτον μὲν ὑβρίσαντα τὸν ἐν ἁγίοις Κύριλλον, μετὰ ταῦτα δὲ ἀπολογούμενον καὶ λέγοντα ὅτι μετὰ τὴν ἕνωσιν οὐδὲν ὑβριστικὸν κατὰ τοῦ ἐν ἁγίοις εἶπεν Κυρίλλου, τὴν μνημονευθεῖσαν ἐποίησεν διαλαλιάν. ὅτι δὲ ἡ προειρημένη ἀσεβὴς ἐπιστολὴ ἡ λεγομένη Ἴβα πάσης ἀσεβείας καὶ τῶν κατὰ Κυρίλλου ὕβρεων ἀπ' ἀρχῆς ἕως τέλους πεπλήρωται, οὐδενὶ ἀμφιβάλλεται. ἀλλ' οὐδὲ ἔχει λόγον τὸ πιστεῦσαι ὅτι Εὐνόμιος τὰ πρῶτα μὲν διέβαλε τῆς ἐπιστολῆς ὡς κακά, τὰ τελευταῖα δὲ χείρονα ὄντα ἐπήινεσεν. οὐδεὶς γὰρ εὖ φρονῶν ἀποδέχεται τὸν ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος ὁμοῦ τὸν αὐτὸν ἐπαινοῦντα καὶ ψέγοντα. εἴ τις τοίνυν τὴν Εὐνομίου δια-

l. c. p. 372, 24–28
l. c. p. 373, 8–375, 15
l. c. p. 376, 26–28. 378, 3. 4
l. c. p. 391, 9–393, 27
l. c. p. 393, 28–30
Act. Conc. II 1 p. 400, 18 not.

2. 3 Ibas depositus est a synodo Ephesena altera [Abhandlg d. Gött. Ges. d. Wiss. N. F. XV 1] p. 60, 11 sq. 13–16 non accurate refertur de synodi iudicio Act. Conc. II 1 p. 398, 23–401, 17

M

3 κατηρέθη M 11 ἐδέσης M 18/19 θαυμάζωμεν M 19 ἐκδικεῖται M 21 ἐδέσις M 25 λέγεται M

λαλιὰν τολμήσει λέγειν μὴ τῇι Ἴβα καταθέσει τῇι ἐν Τύρωι γενομένηι, ἀλλὰ τῶι ὕφει συνάιδειν τῆς μνημονευθείσης ἀσεβοῦς ἐπιστολῆς, τὴν τῆς ἀληθείας ἀκολουθίαν οὐ φυλάττει, ἀλλ' ὡς αἱρετικὸς ὕβριν τοῖς πατράσιν προσάπτειν σπουδάζει.

Καὶ εἰς τοῦτο δὲ ἐθαυμάσαμεν ὅτι γράψαι ὑπεμείνατε τὰ κεφάλαια μὲν τοῦ ἐν ἁγίοις Κυρίλλου 65
σκοτεινὰ εἶναι, τὴν δὲ ἀσεβῆ ἐπιστολὴν ὡς τοῦ ἁγίου πνεύματος μεσάζοντος ἀποδεχθεῖσαν ἐπηινέσατε. καὶ φανερόν ἐστιν ὅτι ταῦτα τὰ ῥήματα οὐκ ἐξ ἁγίου πνεύματος, ἀλλ' ἐξ ἐνεργείας τοῦ πονηροῦ πνεύματος προηγάγετε, ὅτι τοὺς μὲν πατέρας καὶ διδασκάλους τῆς ἐκκλησίας σκοτεινοὺς ἐκαλέσατε, τὴν δὲ κακοδοξίαν τῆς ἐπιστολῆς μετὰ βλασφημίας ἐπηινέσατε. ὅθεν καλῶς ἁρμόζει καὶ ὑμῖν καὶ τοῖς ἄλλοις τοῖς τὰ παραπλήσια ὑμῖν περὶ τῶν ἁγίων πατέρων φρονοῦσι τὸ παρὰ τοῦ ἁγίου Πέτρου τοῦ ἀποστόλου ῥηθὲν περὶ τῶν κακῶς νοούντων τὰς ἐπιστολὰς τοῦ ἁγίου
2 Petr. 3, 16 Παύλου ὅτι ταῦτα οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλώσουσιν ὡς καὶ τὰς λοιπὰς γρα-
1087 φὰς πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. οὕτως τοίνυν ὑμῖν κακῶς νοοῦσι σκοτεινὰ εἶναι δοκεῖ τὰ παρὰ τῶν τῆς ἐκκλησίας διδασκάλων καὶ τῶν θείων γραφῶν ἐκτεθειμένα. καὶ ταῦτα μὲν τὰ περὶ Ἴβα καὶ τῆς ἀσεβοῦς ἐκείνης ἐπιστολῆς οὕτω παρακολουθήσαντα ἔν τισι βιβλίοις εὑρίσκονται· εἰδέναι δὲ ὑμᾶς χρὴ ὅτι τὰ πεπραγμένα ἐν οἷς ἡ ἀσεβὴς ἐκείνη ἐπιστολὴ περιέχεται, οὐχ ὑποτέτακται τοῖς αὐθεντικοῖς οἷς οἱ ἐπίσκοποι ὑπέγραψαν, ὡς καὶ τὰ ἰσότυπα αὐθεντικὰ ἔν τε τῇι ἁγιωτάτηι ἐκκλησίαι Ῥώμης καὶ ἐν τῇι Κωνσταντινουπόλει καὶ ἐν τῶι θείωι ἡμῶν παλατίωι παραδεδώκασιν. ἐπεὶ τοίνυν δείκνυται πανταχόθεν πάσης ἀσεβείας πεπληρωμένη ἡ αὐτὴ ἀσεβὴς ἐπιστολὴ καὶ ἐναντία οὖσα τοῖς ὁρισθεῖσιν ὑπὸ τῆς ἁγίας ἐν Καλχηδόνι συνόδου, οἱ ταύτην λέγοντες δεδέχθαι ὑπὸ τῆς ἁγίας ἐν Καλχηδόνι συνόδου οὐ μόνον τὴν οἰκείαν κακοδοξίαν σπουδάζουσιν ἐκδικεῖν, ἀλλὰ καὶ ὕβριν τῇι αὐτῇι ἁγίαι συνόδωι προσάπτειν. τὰ γὰρ δεχθέντα καὶ βεβαιωθέντα παρὰ τῆς μνημονευθείσης ἁγίας συνόδου ὀνομαστὶ ἐν τῶι παρ' αὐτῆς δεδομένωι περὶ τῆς πίστεως ὅρωι περιέχεται.

Γινώσκειν δὲ ὑμᾶς βουλόμεθα ὅτι καὶ Θεοδώρητος, ἐπειδὴ κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ 66
ἐν ἁγίοις Κυρίλλου ἔγραψε Νεστόριον καὶ τὴν αὐτοῦ κακοδοξίαν ἐκδικῶν, μετὰ τὸν ὅρον τῆς Καλχηδόνι ἁγίας συνόδου συνωθήθη πρῶτον μὲν ἀναθεματίσαι Νεστόριον καὶ τὴν ἀσέβειαν τὴν αὐτοῦ καὶ ὁμολογῆσαι θεοτόκον τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν, καὶ οὕτως ἐδέχθη. ὅθεν καὶ Ἴβας καὶ Θεοδώρητος οὐχ ὡς διδάσκαλοι καὶ πατέρες, ἀλλ' ὡς μετανοοῦντες καὶ ἀναθεματίζοντες τὴν κακοδοξίαν ὑπὲρ ἧς κατηγορήθησαν, καὶ δεξάμενοι τὸν ὅρον τῆς ἐν Καλχηδόνι συνόδου καὶ ὑπογράψαντες ἐν αὐτῶι ἐδέχθησαν, ἐπειδὴ ἔθος ἐστὶν ἐν τῇι καθολικῇι ἐκκλησίαι ἅπαντας τοὺς αἱρετικοὺς τῆς οἰκείας πλάνης ἀναχωροῦντας καὶ πρὸς τὴν ὀρθόδοξον ἐπανιόντας πίστιν δεχθῆναι εἰς κοινωνίαν, οὐ μὴν ὡς διδασκάλους τοῖς πατράσιν συναριθμεῖσθαι. ὅθεν καὶ τοὺς ἄλλους Ἀνατολικοὺς ἐπισκόπους οἵτινες Νεστόριον ἐκδικοῦντες ἀντεῖπον τῇι πρώτηι ἐν Ἐφέσωι συνόδωι καὶ τῶι ἐν ἁγίοις Κυρίλλωι, ἐπειδὴ μετὰ ταῦτα Νεστόριον καὶ τὴν κακοδοξίαν ἀνεθεμάτισαν τὴν αὐτοῦ, ἐδέξατο ὁ κατὰ Ῥώμην ἀποστολικὸς θρόνος καὶ ὁ ἐν ἁγίοις Κύριλλος καὶ διὰ τοῦτο καὶ ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία δέχεται αὐτούς.

Καὶ τοῦτο δὲ ὑμᾶς εἰδέναι βουλόμεθα ὅτι οὐ μόνον Ἴβας καὶ Θεοδώρητος διὰ τὸ ἀντειπεῖν τοῖς 67
δώδεκα κεφαλαίοις τοῦ ἐν ἁγίοις Κυρίλλου ἐξεβλήθησαν τῆς ἐπισκοπῆς, ἀλλὰ καὶ Δόμνος ὁ Ἀντιοχείας ἀρχιεπίσκοπος διὰ τοῦτο κατεδικάσθη ὡς γράψας ὀφείλειν μόνον σιωπηθῆναι τὰ αὐτὰ δώδεκα κεφάλαια. ἤντινα κατάκρισιν κατὰ Δόμνου γενομένην καὶ μετὰ θάνατον αὐτοῦ ἡ ἐν

37. 38 sicut Ibas et Domnus, etiam Theodoretus ab altera synodo Ephesena damnatus est, cf. Abhandlg d. Gött. Ges. d. Wiss. N. F. XV 1 p. 84 sq. 40. p. 67, 1 falsa sunt, cf. Act. Conc. t. II 2 p. 111, 37 sq. M

16 ὡς scripsi ὧν M

Καλχηδόνι σύνοδος ἐδέξατό τε καὶ ἐβεβαίωσεν. ὅτι δὲ τοῦτο ἀληθές ἐστιν, καὶ αὐτὸς Θεοδώρητος πρὸς Ἰωάννην τὸν Γερμανικείας ἐπίσκοπον μαρτυρεῖ γράφων οὕτως

68 Τί δήποτε καὶ προφανῶς ψεύδονται καὶ φασὶ μηδεμίαν γεγενῆσθαι περὶ δόγμα καινοτομίαν; ep. 147 p. 1276 Sch.
διὰ ποίους φόνους καὶ γοητείας ἐξηλάθην ἐγώ; ὁ δεῖνα τίνας μοιχείας ἐτόλμησε; ποίους ὁ δεῖνα διώρυξε τάφους; δῆλόν ἐστιν καὶ τοῖς βαρβάροις, παρακαλῶ, ὡς δογμάτων χάριν κἀμὲ καὶ τοὺς ἄλλους ἐξήλασαν. καὶ γὰρ τὸν κύριον Δόμνον ὡς τὰ κεφάλαια μὴ δεξάμενον καθεῖλον οἱ βέλτιστοι πανεύφημα ταῦτα καλέσαντες καὶ ἐμμένειν τούτοις ὁμολογήσαντες. ἐγὼ γὰρ αὐτῶν τὰς καταθέσεις ἀνέγνων, ἐμὲ δὲ ὡς τῆς αἱρέσεως ἔξαρχον ἀπεκήρυξαν. 1089

69 Ἐκ τούτων τοίνυν δείκνυται ὅτι διὰ τὰ κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου τὰ κατὰ Νεστορίου προτεθέντα καὶ Δόμνος καὶ αὐτὸς Θεοδώρητος καὶ Ἴβας καὶ ἄλλοι τινὲς ἐξεβλήθησαν. καὶ Θεοδώρητον μὲν καὶ Ἴβαν μεταμεληθέντας καὶ δεξαμένους τὰ μνημονευθέντα κεφάλαια καὶ τὰ ἄλλα, δι' ἃ ἐξεβλήθησαν, ἡ ἁγία σύνοδος ἡ ἐν Καλχηδόνι ἐδέξατο· οἱ ἄλλοι δὲ οἱ μὴ μεταμεληθέντες οὐκ ἐδέχθησαν, ἡ δὲ Δόμνου κατάκρισις καὶ μετὰ θάνατον αὐτοῦ ἐβεβαιώθη.

70 Ἐπειδὴ δὲ ἐγράψατε ὅτι τὰς Θεοδώρου βλασφημίας τὰς παρ' ἡμῶν πεμφθείσας ὑμῖν ἀναθεματίζετε, εἴ τινος ἂν ὦσιν, αὐτὸν δὲ Θεόδωρον ἠμφεβάλετε ἀναθεματίσαι διὰ τὸ ἤδη προτελευτῆσαι αὐτὸν ἐν τῇι κοινωνίαι, ὡς λέγετε, τῶν ἐκκλησιῶν, γινώσκετε ὅτι οἱ λέγοντες μὴ ἐξὸν εἶναι Θεόδωρον ἀναθεματίζεσθαι, ἀλλὰ τοῖς ἐπισκόποις συναριθμεῖσθαι, ἐπειδὴ ἐν τῇι κοινωνίαι, καθὼς εἰρήκατε, τῆς ἐκκλησίας ἐτελεύτησεν, ὀφείλουσιν καὶ Ἰούδαν τοῖς ἀποστόλοις συναριθμεῖν τὸν ὡς ἐνόμισεν λαθόντα τὸν γινώσκοντα τὰ κρυπτὰ τῶν ἀνθρώπων θεὸν καὶ μετὰ τῶν ἄλλων μαθητῶν κοινωνίαν δεξάμενον ἀπ' αὐτοῦ. ὅσον γὰρ ἦκεν εἰς τοὺς ταῦτα λέγοντας, μέμψεώς εἰσιν ἄξιοι καὶ οἱ ἀπόστολοι οἱ μετὰ τὸν αὐτοῦ θάνατον ψῆφον κατ' αὐτοῦ προαγαγόντες κατακρίναντες αὐτὸν καὶ εἰς τόπον αὐτοῦ ἄλλον ἀντεισαγαγόντες. καὶ πάλιν ἐπειδὴ ἐν τοῖς ἁγίοις εὐαγγελίοις τὸ ὄνομα αὐτοῦ μεταξὺ τῶν ἄλλων ἀποστόλων ἀναγινώσκεται, μὴ ἄρα ἐκ τούτου ἢ ὡς ἀπόστολος δέχεται ἢ τῆς κατακρίσεως τοῦ ἀναθέματος ὤφειλεν ἐλευθερωθῆναι; κατανοεῖτε τοίνυν ὅτι ἐκεῖνος τελευτᾶι ἐν τῇι κοινωνίαι τῶν ἐκκλησιῶν ὁ τὴν ὀρθόδοξον πίστιν μέχρι πέρατος τῆς οἰκείας ζωῆς φυλάξας. καὶ γὰρ εἰ καὶ Μανιχαῖος ἢ Ἀρειανὸς ἢ Νεστοριανὸς ἢ Εὐτυχιανιστὴς ἢ ἄλλος οἱοσοῦν αἱρετικὸς ἢ Ἑλληνικῆι μανίαι κρατούμενος λάθηι κοινωνῶν τῇι ἐκκλησίαι καὶ οὕτως τελευτήσηι καὶ μετὰ θάνατον ἢ ἐκ τῶν συγγραμμάτων αὐτοῦ ἢ καθ' ἕτερον τρόπον αἱρετικὸς εἶναι φανῆι, ὅμως οὐκ ἐκ τούτου ἡ ὀρθόδοξος βλάπτεται πίστις ἢ ἐκεῖνος ἐλευθεροῦται τῆς κατακρίσεως, εἰ ἐν τῇι εἰρήνηι τῶν ἐκκλησιῶν λέγεται τελευτῆσαι. καὶ γενικῶς οὐδένα τῶν αἱρετικῶν θάνατος ἐκ τῆς περὶ τῆς κακοδοξίας αὐτοῦ κατακρίσεως ἐλευθεροῖ, μᾶλλον μὲν οὖν διὰ τοῦτο καταδικάζει, ὅτι ζῶν οὐ μετεμελήθη. ὅτι δὲ οἱ αἱρετικοὶ οἱ ἐν τῇι ζωῆι αὐτῶν μὴ μεταμεληθέντες καὶ μετὰ θάνατον κατεκρίθησαν, ἐκ πολλῶν δείκνυται. καὶ Εὐνόμιος γὰρ καὶ Ἀπολινάριος καὶ Βόνωσος καὶ ἐν τοῖς ἀρχαιοτέροις χρόνοις Βαλεντῖνος Βασιλείδης Μαρκίων καὶ Κήρινθος καὶ ἄλλοι πολλοὶ ἐν τῇι οἰκείαι ζωῆι μὴ ἀναθεματισθέντες μετὰ θάνατον κατεκρίθησαν καὶ ὑπὸ τῆς καθολικῆς ἐκκλησίας ἀναθεματίζονται, ἐπειδὴ ἐν τῇι οἰκείαι πλάνηι ἐτελεύτησαν, ὥσπερ οἱ ἐν τῇι ἰδίαι ζωῆι ἀδίκως κατακριθέντες μετὰ θάνατον ὑπὸ τῆς καθολικῆς ἐκκλησίας ἀνεκλήθησαν, τουτέστιν Ἰωάννης καὶ Φλαβιανὸς οἱ ἐν ἁγίοις ἀρχιεπίσκοποι Κωνσταντινουπόλεως. κατὰ γὰρ τὴν ὑμετέραν ἔννοιαν χρὴ τοὺς αἱρετικοὺς ἐν τῇι οἰκείαι πλάνηι τελευτήσαντας ἐλευθεροῦσθαι, τοὺς δὲ ὀρθοδόξους τοὺς ἀδίκως κατακριθέντας μὴ ἀνακαλεῖσθαι μετὰ τὸν θάνατον, ὅπερ πάσης ἀσεβείας πεπλήρωται. 1091

M

6 καθείλαν M 16 λέγεται M 24 coniecerim δεδέχθαι 30 εἰ Bandini ἡ M

Ὅτι δὲ ἐκκλησιαστική ἐστι παράδοσις τοὺς αἱρετικοὺς καὶ μετὰ θάνατον καταδικάζεσθαι καὶ 71
ἀναθεματίζεσθαι, φανερὸν μὲν ἐκ τούτων ἐποιήσαμεν, πλὴν ὅμως καὶ ἐκ τῶν διατάξεων τῶν
ἁγίων ἀποστόλων τοῦτο δείκνυται. λέγοντες γὰρ προσήκειν ὑπὲρ ἀναπαύσεως τῶν τελευτών-
4 των ἐλεημοσύνας παρέχεσθαι οὕτως ἐπάγουσι

Constit. apost. 8, 43 Ταῦτα δὲ περὶ τῶν εὐσεβῶν λέγομεν· περὶ δὲ τῶν ἀσεβῶν ἐὰν τὰ τοῦ κόσμου δῶι πένησιν, 72
οὐδὲν ὀνήσει αὐτόν. ὧι γὰρ περιόντι ἐναντίον ἦν τὸ θεῖον, δῆλον ὅτι καὶ μεταστάντι.

Ὁπότε τοίνυν οἱ ἀπόστολοι περὶ τῶν εὐσεβῶν οὕτω διετύπωσαν, τίς εἴποι χρῆναι μετὰ θάνατον 73
τοὺς αἱρετικοὺς ἢ αὐτὸν μάλιστα Θεόδωρον τῆς κατακρίσεως τοῦ ἀναθέματος ἐλευθεροῦσθαι,
ὄντινα οἱ ἅγιοι πατέρες ὡς χείρονα Ἰουδαίων καὶ Ἑλλήνων καὶ Σοδομιτῶν καὶ πάντων τῶν
10 αἱρετικῶν βλασφημήσαντα τούτοις συνηρίθμησαν καὶ μετὰ τῆς αὐτοῦ ἀσεβείας κατέκριναν; ὅτι
δὲ καὶ μετὰ θάνατον τοὺς αἱρετικούς, ὡς προείπομεν, ἀναθεματίζεσθαι δεῖ, καὶ ὁ ἐν ἁγίοις Αὐγου-
στῖνος ἐπίσκοπος ἐκ τῆς τῶν Ἄφρων χώρας οὕτω λέγει ἐν τῆι ἐπιστολῆι τῆι πρὸς Βονιφάτιον
γεγραμμένηι

ep. 185 [CSEL 57 p. 3, 26] Ὁπότε κἂν ἀληθῆ ἦι δυνατὸν δειχθῆναι τὰ παρ' αὐτῶν ἀντιτεθέντα Κεκιλιανῶι καὶ ὑμῖν, καὶ 74
15 ἀποθανόντα ἂν αὐτὸν ἀνεθεματίζομεν· ἀλλ' ὅμως τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, ἥτις οὐ ταῖς ἐν-
φιλονίκοις δόξαις μεταβάλλεται, ἀλλὰ ταῖς θείαις μαρτυρίαις βεβαιοῦται, δι' οἱονδήποτε ἄνθρω-
πον καταλιπεῖν οὐκ ὀφείλομεν.

Καὶ ταῦτα μὲν ὁ ἐν ἁγίοις Αὐγουστῖνος· ὅμως οὐ μόνον τοὺς εἰς πίστιν ἁμαρτάνοντας μετὰ 75
θάνατον οἱ ἅγιοι πατέρες ἀναθεματίζουσιν, ἀλλὰ καὶ τοὺς ἐπισκόπους τοὺς ἐν τῆι τελευταίαι αὐτῶν
20 βουλήσει ἢ ἐξ ἀδιαθέτου αἱρετικοῖς συγγενέσιν ἢ ἐξωτικοῖς καταλιμπάνοντας. τῆς γὰρ ἐν
Ἀφρικῆι συνόδου ὀγδοηκοστὸς πρῶτος κανὼν οὕτω λέγει

PL 67, 206 Πάλιν ὡρίσθη, εἴ τις ἐπίσκοπος κληρονόμους ἐξωτικοὺς τῆς ἰδίας συγγενείας ἢ αἱρετικοὺς 76
κἂν ἰδίους συγγενεῖς ἢ Ἕλληνας προτιμήσει τῆς ἐκκλησίας, καὶ μετὰ θάνατον ἀναθεματιζέσθω
καὶ τὸ ὄνομα αὐτοῦ μεταξὺ τῶν τοῦ θεοῦ ἱερέων μὴ ἀναγινωσκέσθω. καὶ οὐδὲ ἐξαιρεῖται τῆς
25 κατακρίσεως, εἰ ἀδιάθετος τελευτήσει, ἐπειδὴ ἐχρῆν αὐτὸν ἐπίσκοπον γενόμενον μηδαμῶς ἀνα-
βάλλεσθαι τὴν τῆς ἰδίας οὐσίας διοίκησιν ἁρμοδίαν τῶι οἰκείωι ἐπαγγέλματι.

Εἰ τοίνυν, καθὼς ὁ ἐκκλησιαστικὸς ὥρισε κανών, ὑπὲρ ἰδίας οἱ ἐπίσκοποι περιουσίας μὴ ὀρθῶς 77
διοικηθείσης καὶ μετὰ θάνατον ἀναθεματίζονται, πόσωι μᾶλλον ἀναθεματίζεσθαι ὤφειλον οἱ εἰς
1 Reg. 2, 25 αὐτὸν τὸν θεὸν ἁμαρτάνοντες τῆς ἁγίας γραφῆς λεγούσης ἐὰν ἄνθρωπος εἰς ἄνθρωπον
30 ἁμάρτηι, καὶ προσεύξονται περὶ αὐτοῦ· εἰ δὲ εἰς θεόν τις ἁμάρτηι, τίς προσεύξεται
περὶ αὐτοῦ;

1093 Ἀποδείξαντες δὲ ὅτι ἐν τοῖς προλαβοῦσι χρόνοις ὡρίσθη παρὰ τῶν ἁγίων πατέρων χρῆναι καὶ 78
μετὰ θάνατον ἀναθεματίζεσθαι τοὺς εἴτε εἰς πίστιν εἴτε εἰς κανόνας ἁμαρτήσαντας, ἀναγκαῖον
εἶναι συνείδομεν καὶ τὰ ἐν τοῖς ἡμετέροις χρόνοις γενόμενα πᾶσι δῆλα καταστῆσαι πρὸς ἀναίρεσιν
35 πάσης ἀφορμῆς τῶν τοὺς προφανεῖς αἱρετικοὺς καὶ τὴν τούτων ἀσέβειαν ἐκδικούντων. Λαυ-
ρέντιον γὰρ καὶ Διόσκορον τοὺς ἐν διαφόροις χρόνοις τὴν τοῦ ἀποστολικοῦ θρόνου ἱερωσύνην
ὑφαρπάσαντας, εἰ καὶ μὴ εἰς πίστιν ἥμαρτον, ἀλλ' οὖν ἐπειδὴ κατὰ περιδρομὴν ἐσπούδασαν τῆς
ἐπισκοπῆς ἐπιλαβέσθαι, μετὰ θάνατον ὁ ἀποστολικὸς θρόνος κατέκρινεν καὶ ἀνεθεμάτισεν.

Ἐπειδὴ δὲ καὶ τοῦτο τοῖς ὑμετέροις προσεθήκατε γράμμασιν ὅτι ἐάν τις τὸν αἱρεσιάρχην 79
40 ἀναθεματίσηι καὶ εἴπηι κατακρίνων καὶ τοὺς τὰ ὅμοια φρονοῦντας αὐτῶι, συμπεριλαμβάνει

35 Laurentium numquam anathemati subiectum fuisse probatur imagine in basilica Pauli Romae inter pontifices proposita

M

17 καταλειπεῖν M 25/26 ἀναβάλεσθαι M 30 προσεύξηται M 40 ἀναθεματίσει M

πάντας τοὺς ὁτεδήποτε ταῦτα φρονήσαντας καὶ διὰ τοῦτο ἐπειδὴ Παῦλον τὸν Σαμοσατέα καὶ Φωτεινὸν καὶ Βόνωσον καὶ Νεστόριον ἀναθεματίζετε, οὐκ ὀφείλετε καὶ Θεόδωρον τὸν τὰ ὅμοια ἐκείνοις φρονήσαντα ὀνομαστὶ ἀναθεματίσαι, γινώσκετε ὅτι πρῶτον μὲν ἐκεῖνοι δίχα ὀνόματος ἀναθεματίζονται οἱ κατὰ πλάνην ἀκολουθήσαντες τοῖς αἱρεσιάρχαις, οὐ μὴν οἱ ἄλλους ἀπατήσαντες. τοὺς γὰρ ἀρχηγοὺς τῶν αἱρέσεων καὶ ὀνομαστὶ ἡ ἐκκλησία τοῦ θεοῦ ἀναθεματίζει, Θεόδωρος δὲ οὐ μόνον διδάσκαλος ἦν τῆς Νεστορίου δυσσεβείας, ἀλλὰ καὶ πολλοὺς διὰ τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων ἠπάτησεν. ὥσπερ γὰρ οἱ ὀρθοὶ τῆς ἐκκλησίας διδάσκαλοι διὰ τῶν οἰκείων ἐκθέσεων γνωρίζονται καὶ ἐπαινοῦνται, οὕτω καὶ ἐκ τοῦ ἐναντίου πάντες οἱ τῆς κακοδοξίας ἀρχηγοὶ διὰ τῶν ἰδίων ἀσεβῶν συγγραμμάτων ἐλέγχονται καὶ ἀναθεματίζονται. ὁπότε τοίνυν Θεόδωρος καὶ αἱρεσιάρχης γέγονε καὶ ἀναριθμήτους βλασφημίας ἐν τοῖς οἰκείοις βιβλίοις ἐξήμεσεν, οὐδεμίαν ἔχετε δικαίαν ἀφορμὴν πρὸς τὸ παραιτήσασθαι τὸν κατ' αὐτοῦ ἀναθεματισμόν.

80 Περὶ δὲ τῆς ἐκθέσεως τῆς πίστεως ἣν τοῖς ὑμετέροις γράμμασιν ἐνεθήκατε, εἰ καὶ πολλὰ εἴχομεν μέμψασθαι, ἀλλ' οὖν ὅμως διὰ τὴν ὑμετέραν ἄγνοιαν καὶ ἁπλότητα τοῦτο παραλιπεῖν τέως δεῖν ἐνομίσαμεν. ἔν τισι γὰρ ἀνασφαλῶς ἐγράψατε, ἔν τισι ῥήματα τεθήκατε μηδὲ ταῖς θείαις γραφαῖς μηδὲ τοῖς ἁγίοις πατράσιν ἐγνωσμένα, ἐν ἄλλοις δὲ τοὺς διδασκάλους τῆς ἐκκλησίας τό γε εἰς ὑμᾶς ἦκον κατεδικάσατε, πρὸς τούτοις δὲ καί τινα εἰς τὴν ὀρθόδοξον συντείνοντα πίστιν παρελείψατε. ὅθεν χρὴ ὑμᾶς κατὰ τὴν παραίνεσιν τῶν ἁγίων πατέρων ἢ γινώσκοντας λαλεῖν ἢ ἀγνοοῦντας σιωπᾶν καὶ ἀπὸ τῶν ἐπισταμένων διδάσκεσθαι.

81 Ἐπειδὴ δὲ ἐγράψατε ἡμῖν πῶς ὀφείλομεν τοῖς Αἰγυπτίοις ἀποκρίνασθαι, θαυμάζομεν ὑμᾶς ὅτι τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν καὶ Θεόδωρον καὶ Νεστόριον καὶ τὴν κακοδοξίαν τὴν αὐτῶν ἐκδικοῦντες ἡμῖν παραινεῖν ἐπιχειρεῖτε τί ὀφείλομεν ἄλλοις ἐναντίοις τῆς ἐκκλησίας ἀποκρίνασθαι. εἰ γάρ τις τοῖς παρ' ὑμῶν γραφεῖσι συναινέσει, οὐδὲν ἕτερον παραινέσει τοῖς Αἰγυπτίοις ἢ Θεόδωρον καὶ Νεστόριον τοὺς αἱρετικοὺς δέξασθαι καὶ πάντας τοὺς ἁγίους πατέρας καταδικάσαι 1095
τοὺς κατακρίναντας ἐκείνους τε καὶ τὴν αὐτῶν ἀπιστίαν καὶ πρὸς τούτοις ἐξ ἑτέρας πλάνης εἰς ἄλλην ἐμπεσεῖν, ὁπότε ἡμῖν ἐγράψατε ἀποκρίνασθαι τοῖς ἐναντίοις τῆς ἐκκλησίας καλὴν καὶ ὀρθόδοξον εἶναι τὴν μυσαρὰν ἐκείνην ἐπιστολήν. σπουδάσατε τοίνυν πρῶτον μὲν ὑμᾶς αὐτοὺς διορθώσασθαι καὶ οὕτως ἄλλους διδάξαι. εἴ τις γὰρ ἢ Θεόδωρον ἢ τὴν λεγομένην Ἴβα ἐπιστολὴν ἢ τὰ Θεοδωρήτου συγγράμματα τὰ κατὰ τῆς ὀρθῆς πίστεως ἐκτεθέντα ἐκδικεῖ, τοῖς αἱρετικοῖς ἑαυτὸν συναριθμῶν ἀλλότριον ἑαυτὸν ποιεῖ τῆς καθολικῆς ἐκκλησίας, ἧς κεφαλή ἐστιν ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς ὁ Χριστός, οὗτινος ὑμᾶς αὐτοὺς χωρίζετε τὴν ἀσεβῆ ἐπιστολὴν καὶ Θεόδωρον ἐκδικοῦντες, καὶ διὰ τοῦτο προσῆκόν ἐστιν ὑμᾶς τῆς ἀσεβείας τῆς ἐπιστολῆς καὶ τοῦ ἐκδικεῖν Θεόδωρον τὸν οὕτω προφανῆ αἱρετικὸν ἀποσχέσθαι. εἰ γὰρ ὁ ἅγιος ἀπόστολος Παῦλος κωλύει τοῦτο μὲν ἐκ τοῦ ἰδίου ὀνόματος, τοῦτο δὲ ἐκ τῶν λοιπῶν ἀποστόλων καλεῖσθαί τινα καὶ ἐπιτιμᾶι τοῖς λέγουσιν ἐγὼ μὲν 1 Cor. 1, 12

M

2 φώτιον M 13 παραλειπεῖν M 22 συνενέσει M 30/31 χωρίζεται M 34 deficit M in fine paginae

III

IVSTINIANS EDICT ÜBER DEN RECHTEN GLAUBEN

Handschriften des Originals

V = Vaticana 1941 s. X
M = Laurentiana VII 1 s. X
X = Athos Vatopedi 594 s. XI

der Übersetzung

P = Cambridge Pembroke College 108 s. X
D = Montpellier 58 s. XI

L V 684 PG 86, 993

ΕΝ ΟΝΟΜΑΤΙ ΤΟΥ ΘΕΟΥ ΚΑΙ ΠΑΤΡΟΣ ΚΑΙ ΤΟΥ ΜΟΝΟΓΕΝΟΥΣ ΑΥΤΟΥ ΥΙΟΥ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

Αὐτοκράτωρ Καῖσαρ φιλόχριστος Φλ' Ἰουστινιανὸς Ἀλαμανικὸς Γοτθικὸς Φραγκικὸς Γερμανικὸς Ἀντικὸς Ἀλανικὸς Οὐανδαλικὸς Ἀφρικανὸς εὐσεβὴς εὐτυχὴς ἔνδοξος νικητὴς τροπαιοῦχος ἀεισέβαστος αὔγουστος παντὶ τῶι πληρώματι τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. Εἰδότες ὡς οὐδὲν οὕτως θεραπεύει τὸν φιλάνθρωπον θεὸν ὡς τὸ ἓν καὶ τὸ αὐτὸ φρονεῖν πάντας τοὺς Χριστιανοὺς περὶ τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν καὶ μὴ εἶναι σχίσματα ἐν τῆι ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι, ἀναγκαῖον ἡγησάμεθα πᾶσαν πρόφασιν ἀναιροῦντες τοῖς σκανδαλιζομένοις ἢ σκανδαλίζουσι τὴν τῆς ὀρθῆς πίστεως ὁμολογίαν τὴν ἐν τῆι ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι κηρυττομένην φανερὰν διὰ τοῦ παρόντος ἡδίκτου ποιήσασθαι πρὸς τὸ καὶ τοὺς τὴν ὀρθὴν πίστιν ὁμολογοῦντας ἐν βεβαίωι ταύτην φυλάττειν καὶ τοὺς πρὸς ταύτην φιλονικοῦντας μανθάνοντας τὴν ἀλήθειαν σπουδάσαι ἑνωθῆναι τῆι ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι.

Ὁμολογοῦμεν τοίνυν πιστεύειν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον, μίαν
PG 995 θεότητα ἤτοι φύσιν καὶ οὐσίαν καὶ δύναμιν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν ἤτοι προσώποις δοξάζοντες, εἰς ἃ βεβαπτίσμεθα, εἰς ἃ πεπιστεύκαμεν καὶ οἷς συντετάγμεθα, τὰς μὲν ἰδιότητας χωρίζοντες, ἑνοῦντες δὲ τὴν θεότητα. μονάδα γὰρ ἐν τριάδι καὶ τριάδα ἐν μονάδι προσκυνοῦμεν παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν καὶ τὴν ἕνωσιν, μονάδα μὲν κατὰ τὸν τῆς οὐσίας ἢ γοῦν θεότητος λόγον, τριάδα δὲ κατὰ τὰς ἰδιότητας ἢ γοῦν ὑποστάσεις ἤτοι πρόσωπα (διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπωμεν, καὶ συνάπτεται διηρημένως· ἓν γὰρ ἐν τρισὶν ἡ θεότης καὶ τὰ τρία ἓν τὰ ἐν οἷς ἡ θεότης, ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης), θεὸν ἕκαστον, ἂν θεωρῆται μόνον τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα, θεὸν τὰ τρία μετ' ἀλλήλων νοούμενα τῶι ταυτῶι τῆς κινήσεως καὶ τῆς φύσεως, ἐπειδὴ χρὴ καὶ τὸν ἕνα θεὸν ὁμολογεῖν καὶ τὰς τρεῖς ὑποστάσεις κηρύττειν ἢ γοῦν τρία πρόσωπα καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος. καὶ οὔτε τὴν ἕνωσιν σύγχυσιν ἐργαζόμεθα κατὰ Σαβέλλιον ἓν πρόσωπον τριώνυμον λέγοντα τὴν τριάδα, τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, οὔτε διαιροῦντες ἀλλοτριοῦμεν τῆς τοῦ θεοῦ πατρὸς οὐσίας τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ ἅγιον κατὰ τὴν Ἀρείου μανίαν εἰς τρεῖς διαφόρους οὐσίας κατατέμνοντος τὴν θεότητα. εἷς τοίνυν θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς υἱὸς μονογενής, δι' οὗ τὰ πάντα, καὶ ἓν πνεῦμα ἅγιον, ἐν ὧι τὰ πάντα.

Ὁμολογοῦμεν δὲ αὐτὸν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, τὸν θεὸν λόγον τὸν πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ πατρὸς γεννηθέντα, οὐ ποιηθέντα, ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς καὶ διὰ τὴν
L V 685 ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ γεννηθέντα ἐξ αὐτῆς, ὅς ἐστιν κύριος Ἰησοῦς Χριστὸς εἷς τῆς ἁγίας τριάδος, ὁμοούσιος τῶι θεῶι καὶ πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιος

VMX (Λ = uersio Latina)

1–5 Ἐν — ἐκκλησίασ V πρόγραμμα ἤτοι διδασκαλία καὶ ἔκδοσισ ἀκριβὴς περὶ τὴσ ἀμωμήτου καὶ ὀρθοδόξου πίστεωσ ἡμῶν τῶν χριστιανῶν in mg. V ἴδικτον τοῦ εὐσεβεστάτου βασιλέωσ Ἰουστινιανοῦ τὴν τῆσ ὀρθῆσ πίστεωσ περιέχον ὁμολογίαν καὶ ἀνασκευὴν τῶν μαχομένων αἱρέσεων τῆ καθολικῆ [τῆσ καθολικῆσ X] τοῦ θῦ ἐκκλησία [ἐκκλησίασ X] MXΛ 3 γοθικόσ· φραγικόσ V 6 ἰδότεσ V 9 τῆσ — πίστεωσ τὴν ὁμολογίαν τὴν X 10 ιδίκτου MX τῶ V 11 φιλονεικούντασ V 20 τὰ² om. V θεωρεῖται VM 22 κινήσεωσ VMX *uirtutem* Λ 29 τὸν² om. V

EDICTUM PIISSIMI IMPERATORIS IVSTINIANI RECTAE FIDEI CONFESSIONEM CONTINENS ET REFVTATIONEM HERESIVM QVAE ADVERSANTVR CATHOLICAE DEI ECCLESIAE

Scientes quod nihil aliud sic potest misericordem deum placare quam ut omnes Christiani unum idemque sapiant in recta et inmaculata fide nec sint dissensiones in sancta dei ecclesia, necessarium putauimus omnem occasionem interimentes eis qui scandalizantur uel scandalizant, rectae fidei confessionem quae in sancta dei ecclesia praedicatur, praesenti edicto facere manifestam, ut et illi qui rectam fidem confitentur, firmiter eam custodiant et illi qui aduersus eam contendunt, discentes ueritatem festinent semet ipsos unire sanctae dei ecclesiae.

Confitemur igitur credere in patrem et filium et spiritum sanctum, trinitatem consubstantialem, unam deitatem siue naturam et substantiam et uirtutem et potestatem in tribus subsistentiis siue personis adorantes, in quae baptizati sumus, in quae credimus, et quibus confessionem dedimus, proprietates quidem separantes, deitatem autem unientes. unitatem enim in trinitate et trinitatem in unitate adoramus, mirabilem habentem et diuisionem et unitionem, unitatem quidem secundum rationem substantiae seu deitatis, trinitatem autem secundum proprietates uel subsistentias siue personas. diuiditur enim sine diuisione, ut sic dicamus, et coniungitur diuise. unum enim est deitas in tribus et tria unum, in quibus deitas est aut, ut subtilius dicamus, ipsa tria est deitas, deus pater, deus filius, deus sanctus spiritus, cum unaquaeque persona solum intellegitur mente separante inseparabilia, et tria unus deus, cum simul intelleguntur propter eandem uirtutem eandemque naturam, quoniam oportet et unum deum confiteri et tres subsistentias praedicare seu tres personas et unamquamque cum sua proprietate. et unitatem confitentes confusionem non facimus secundum Sabellium dicentem trinitatem unam esse personam trionymum, eundem patrem et filium et sanctum spiritum, nec diuidentes proprietates alienamus a dei patris substantia filium aut spiritum sanctum secundum Arrii furorem in tres diuersas naturas incidentis deitatem. unus igitur deus pater, ex quo omnia, et unus unigenitus fllius, per quem omnia, et unus spiritus sanctus, in quo omnia.

Confitemur autem ipsum unigenitum filium dei, deum uerbum ante saecula et sine tempore ex patre natum, non factum, in ultimis diebus propter nos et propter nostram salutem descendisse de caelis et incarnatum esse ex spiritu sancto et sancta gloriosa dei genetrice semper uirgine Maria et natum ex ipsa, qui est dominus Iesus Christus, unus de sancta trinitate, consubstantialis deo patri secundum deitatem et consubstantialis nobis idem

---

PD

4 placere *D* 5 unum *P om. D* 13 quae[1] *D* quibus *P* 20 $\overline{\text{sps}}$ $\overline{\text{scs}}$ *P* intellegetur *D* 23 cum *D* in *P*

ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα, παθητὸς σαρκί, ἀπαθὴς ὁ αὐτὸς θεότητι. οὔτε γὰρ ἕτερός τίς ἐστιν παρὰ τὸν λόγον ὁ τὸ πάθος καὶ τὸν θάνατον ἀναδεδεγμένος, ἀλλ' αὐτὸς ὁ ἀπαθὴς καὶ ἄϊδιος τοῦ θεοῦ λόγος γεννήσεως σαρκὸς ἀνθρωπίνης ἀνασχόμενος τὰ πάντα πεπλήρωκεν. δι' ὃ οὐκ ἄλλον τὸν θεὸν λόγον τὸν θαυματουργήσαντα καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα ἐπιστάμεθα, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη, ἅπερ ἑκουσίως ὑπέμεινεν σαρκί, ὁμολογοῦμεν. οὔτε γὰρ ἄνθρωπός τις ὑπὲρ ἡμῶν ἑαυτὸν δέδωκεν, ἀλλ' αὐτὸς ὁ λόγος τὸ ἴδιον σῶμα δέδωκεν ὑπὲρ ἡμῶν, ἵνα μὴ εἰς ἄνθρωπον ἡ πίστις καὶ ἡ ἐλπὶς ἡμῶν ᾖ, ἀλλ' εἰς αὐτὸν τὸν θεὸν λόγον τὴν ἡμετέραν πίστιν ἔχωμεν. καὶ θεὸν τοίνυν αὐτὸν ὁμολογοῦντες οὐκ ἀθετοῦμεν τοῦ εἶναι αὐτὸν καὶ ἄνθρωπον, καὶ ἄνθρωπον λέγοντες αὐτὸν οὐκ ἀρνούμεθα τὸ εἶναι αὐτὸν καὶ θεόν. εἰ γὰρ θεὸς μόνον ἦν, πῶς ἔπασχε; πῶς ἐσταυροῦτο καὶ ἀπέθνησκε; ἀλλότρια γὰρ ταῦτα θεοῦ. εἰ δὲ ἄνθρωπος μόνον, πῶς διὰ τοῦ πάθους ἐνίκα; πῶς ἔσωιζεν; πῶς ἐζωοποίει; ταῦτα γὰρ ὑπὲρ ἄνθρωπον ἦν. νῦν δὲ ὁ αὐτὸς πάσχει καὶ σώιζει καὶ διὰ τοῦ πάθους νικᾶι,
PG 997 ὁ αὐτὸς θεός, ὁ αὐτὸς ἄνθρωπος, τὸ συναμφότερον ὡς ἕν, ἑκάτερον ὡς μόνον. ὅθεν ἐξ ἑκατέρας φύσεως, τουτέστιν ἐκ θεότητος καὶ ἀνθρωπότητος, ἕνα Χριστὸν σύνθετον λέγοντες σύγχυσιν τῆι ἑνώσει οὐκ ἐπεισάγομεν. καὶ ἐν ἑκατέραι δὲ φύσει, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι, τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα γινώσκοντες διαίρεσιν μὲν τὴν ἀνὰ μέρος ἢ τομὴν οὐκ ἐπιφέρομεν τῆι μιᾶι αὐτοῦ ὑποστάσει, τὴν δὲ διαφορὰν τῶν φύσεων, ἐξ ὧν καὶ συνετέθη, σημαίνομεν, οὐκ ἀνιρημένην διὰ τὴν ἕνωσιν, ἐπειδὴ ἑκατέρα φύσις ἐστὶν ἐν αὐτῶι. συνθέσεως γὰρ ὁμολογουμένης καὶ τὰ μέρη ἐν τῶι ὅλωι ὑπάρχει καὶ τὸ ὅλον ἐν τοῖς μέρεσιν γινώσκεται. οὔτε γὰρ ἡ θεία φύσις εἰς τὴν ἀνθρωπίνην μετεβλήθη, οὔτε δὲ ἡ ἀνθρωπίνη φύσις εἰς τὴν θείαν ἐτράπη· νοουμένης δὲ μᾶλλον καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῶι τῆς ἰδίας φύσεως ὅρωι τε καὶ λόγωι πεπρᾶχθαι φαμὲν τὴν ἕνωσιν καθ' ὑπόστασιν. ἡ δὲ καθ' ὑπόστασιν ἕνωσις δηλοῖ ὅτι ὁ θεὸς λόγος, τουτέστιν ἡ μία ὑπόστασις ἐκ τῶν τριῶν τῆς θεότητος ὑποστάσεων, οὐ προυποστάντι ἀνθρώπωι ἡνώθη, ἀλλ' ἐν τῆι γαστρὶ τῆς ἁγίας παρθένου ἐδημιούργησεν ἑαυτῶι ἐξ αὐτῆς ἐν τῆι ἰδίαι ὑποστάσει σάρκα ἐψυχωμένην ψυχῆι λογικῆι καὶ νοερᾶι, ὅπερ ἐστὶ φύσις ἀνθρωπίνη. ταύτην δὲ τὴν καθ' ὑπόστασιν τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα ἕνωσιν διδάσκων ἡμᾶς καὶ ὁ θεῖος ἀπόστολος λέγει ὃς
Phil. 2, 6. 7 ἐν μορφῆι θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῶι, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών. διὰ γὰρ τοῦ εἰπεῖν 'ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων' τὴν
L V 688 τοῦ λόγου ὑπόστασιν ὑπάρχουσαν ἔδειξεν ἐν οὐσίαι θεοῦ, διὰ δὲ τοῦ εἰπεῖν 'μορφὴν δούλου ἔλαβεν' οὐσίαι ἀνθρώπου καὶ οὐχ ὑποστάσει ἤτοι προσώπωι ἑνωθῆναι τὸν λόγον ἐσήμανεν. οὔτε γὰρ εἶπεν τὸν ἐν μορφῆι δούλου ὑπάρχοντα ἔλαβεν, ἵνα μὴ προυποστάντι ἀνθρώπωι ἑνωθῆναι δείξηι τὸν λόγον, καθὼς Θεόδωρος καὶ Νεστόριος ἀσεβοῦντες ἐβλασφήμησαν σχετικὴν τὴν ἕνωσιν λέγοντες. ἡμεῖς δὲ τῆι θείαι γραφῆι καὶ τοῖς ἁγίοις πατράσιν ἑπόμενοι ὁμολογοῦμεν ὅτι ὁ
Ioh. 1, 14 θεὸς λόγος σὰρξ ἐγένετο, ὅπερ ἐστὶν καθ' ὑπόστασιν ἑαυτῶι ἥνωσε φύσιν ἀνθρωπίνην. δι' ὃ καὶ εἷς ὑπάρχει ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔχων ἐν ἑαυτῶι τὸ τέλειον τῆς θεικῆς φύσεως

VMX

1 οὐ X 2 τίς om. X 3 γενέσεωσ MX 7 οὐ MX ἑαυτὸν ὑπὲρ ἡμῶν ἔδωκεν X 8 ἢ ἡ πίστισ ἡμῶν X 9 ὁμολογοῦντεσ αὐτὸν X 10 τοῦ in τὸ corr. X 14 ὡσ¹ MXΛ οὕτωσ V 16 καὶ² VMXΛ καὶ ἐν V corr. 18 διαίρεσιν MXΛ καὶ διαίρεσιν V τὴν ἀνὰ μέροσ MΛ τὴν ἀναμερῶσ X τὶν ά ἀμερὸσ V 19 τῶν δύο φύσεων X 24 ἡ¹] εἰ X 31 δούλου om. V ἔλαβεν in λαβὼν corr. X 32 λόγον MXΛ Θῡ λόγον V 34 λέγειν τὸν λόγον X corr. 36 ἑνῶσαι VMΛ 37 ὁ χ̄ς̄ V 37/p. 76, 1 θεικῆς — τῆς om. X

ipse secundum humanitatem, passibilis carne, inpassibilis idem ipse deitate. non enim alius quidam est praeter deum uerbum, qui passionem et mortem suscepit, sed ipse inpassibilis et sempiternus deus uerbum generationem carnis humanae sustinere dignatus impleuit omnia. ideo non alium deum uerbum esse qui miracula operatus est, et alium Christum qui passus est, cognoscimus, sed unum eundemque dominum nostrum Iesum Christum, dei uerbum incarnatum et hominem factum, et eiusdem ipsius miracula et passiones, quas carne uoluntarie sustinuit, confitemur. non enim homo aliquis pro nobis semet ipsum dedit, sed ipse deus uerbum suum corpus pro nobis dedit, ne in hominem fides et spes sit nostra, sed in ipsum deum uerbum nostram fidem habeamus. et deum igitur eum confitentes non abnegamus ipsum esse et hominem, et hominem dicentes eum non abnegamus esse ipsum et deum. si enim deus tantummodo esset, quomodo patiebatur? quomodo crucifigebatur et moriebatur? aliena enim ista sunt deo. sin autem homo solum, quomodo per passionem uincebat? quomodo saluos faciebat? quomodo uiuificabat? haec enim supra hominis naturam erant. nunc autem idem ipse patitur et saluos facit et per passionem uincit, idem ipse deus, idem ipse homo, utrumque tamquam unum, utrumque tamquam solum. unde ex utraque natura, id est ex deitate et humanitate unum Christum compositum dicentes confusionem unitioni non introducimus. et in utraque autem natura, id est in diuinitate et humanitate, unum dominum nostrum Iesum Christum dei uerbum incarnatum et hominem factum cognoscentes, diuisionem quidem per partes uel incisionem non inferimus uni eius subsistentiae, differentiam autem naturarum, ex quibus et compositus est, significamus, non interemptam propter unitatem, quoniam utraque natura in ipso est. cum enim compositionem dicamus, necesse est confiteri et partes in toto esse et totum in partibus cognosci. nec enim diuina natura in humanam transmutata est, nec humana natura in diuinam conuersa est, magis autem intellegitur quod utraque in proprietate et ratione suae naturae manente facta est unitas secundum subsistentiam. unitas autem secundum subsistentiam significat quod deus uerbum, id est una subsistentia ex tribus deitatis subsistentiis, non ante plasmato homini unitus est, sed in utero sanctae uirginis creauit sibi ex ipsa in sua subsistentia carnem animatam anima rationabili et intellectuali, quod est natura humana. hanc autem secundum subsistentiam unitatem dei uerbi ad carnem docens nos et diuinus apostolus dicit: qui cum in forma dei esset, non rapinam arbitratus est aequalem se esse deo, sed semet ipsum exinaniuit formam serui accipiens. per hoc enim quod dixit qui cum in forma dei esset, uerbi subsistentiam in natura dei esse ostendit; per hoc autem quod dixit formam serui accepit, naturae hominis et non subsistentiae siue personae unitum esse uerbum significauit. nec enim dixit quod eum qui in forma serui erat, accepit, ne ante plasmato homini unitum esse deum uerbum ostenderet, sicut Theodorus et Nestorius impii blasphemauerunt affectualem dicentes unitatem. nos autem sequentes diuinas scripturas et sanctos patres confitemur quod deus uerbum caro factus est, quod est secundum subsistentiam sibi unire naturam humanam. ideo et unus est dominus noster Iesus Christus, habens in semet ipso perfectionem diuinae naturae

---

PD

1 dī dītate *D* 21 est *om. D* 28 in² *om. D* 37 nosterius *D* 38 factus *in* factum *corr. P*

καὶ τὸ τέλειον τῆς ἀνθρωπίνης φύσεως. καὶ ἔστιν μονογενὴς μὲν καὶ λόγος ὡς ἐκ θεοῦ πατρὸς
Rom. 8, 29 γεννηθείς, καὶ πρωτότοκος δὲ ἐν πολλοῖς ἀδελφοῖς ὁ αὐτός, ὅτε γέγονεν ἄνθρωπος· ὁ γὰρ υἱὸς
τοῦ θεοῦ υἱὸς ἀνθρώπου γέγονεν καὶ μείνας ὅπερ ἦν, οὐ μετέβαλεν ὅπερ γέγονεν. ὅθεν καὶ
δύο γεννήσεις τοῦ αὐτοῦ μονογενοῦς θεοῦ λόγου ὁμολογοῦμεν, τὴν μὲν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς
5 ἀσωμάτως, τὴν δὲ ἐπ' ἐσχάτων τῶν ἡμερῶν τοῦ αὐτοῦ ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρ-
θένου Μαρίας σαρκωθέντος καὶ ἐνανθρωπήσαντος. ὁ γὰρ ἐκ πατρὸς ἐκλάμψας ὑπὲρ ἔννοιαν
ἐκ μητρὸς ἀνέτειλεν ὑπὲρ λόγον καὶ ὢν θεὸς ἀληθὴς ἄνθρωπος γέγονεν ἀληθῶς. διὰ τοῦτο
κυρίως καὶ κατ' ἀλήθειαν θεοτόκον τὴν ἁγίαν ἔνδοξον καὶ ἀειπάρθενον Μαρίαν ὁμολογοῦμεν,
οὐχ ὡς τοῦ θεοῦ λόγου τὴν ἀρχὴν ἐξ αὐτῆς λαβόντος, ἀλλ' ὅτι ἐπ' ἐσχάτων τῶν ἡμερῶν ὁ πρὸ
10 τῶν αἰώνων μονογενὴς θεὸς λόγος σαρκωθεὶς ἐξ αὐτῆς ἀτρέπτως ἐνηνθρώπησεν. καὶ ἀόρατος
ὢν ἐν τοῖς ἑαυτοῦ ὁρατὸς γέγονεν ἐν τοῖς παρ' ἡμῖν, καὶ ἀπαθὴς ὢν θεὸς οὐκ ἀπηξίωσε παθητὸς
PG 999 εἶναι ἄνθρωπος καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου. τοῦτον τὸν ἐν Βηθλεὲμ γεννη-
θέντα ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα καὶ ὁμοιωθέντα ἀνθρώποις καὶ σταυρωθέντα ὑπὲρ ἀν-
θρώπων ἐπὶ Ποντίου Πιλάτου ἐκήρυξαν οἱ ἅγιοι ἀπόστολοι αὐτὸν εἶναι θεόν, αὐτὸν ἄνθρωπον,
15 αὐτὸν υἱὸν θεοῦ, αὐτὸν υἱὸν ἀνθρώπου, αὐτὸν ἐξ οὐρανοῦ, αὐτὸν ἀπὸ γῆς, αὐτὸν ἀπαθῆ, αὐτὸν
παθητόν. ὁ γὰρ γεννηθεὶς ἄνωθεν ἐκ τοῦ πατρὸς λόγος ἀρρήτως ἀφράστως ἀκαταλήπτως
ἀιδίως αὐτὸς ἐν χρόνωι γεννᾶται κάτωθεν ἐκ παρθένου Μαρίας, ἵνα οἱ κάτωθεν πρότερον γεννη-
θέντες ἄνωθεν ἐκ δευτέρου γεννηθῶσιν, τουτέστιν ἐκ θεοῦ. αὐτὸς οὖν μητέρα μόνον ἔχει ἐπὶ
τῆς γῆς καὶ ἡμεῖς πατέρα μόνον ἔχομεν ἐν οὐρανῶι. λαβὼν γὰρ τὸν θνητὸν πατέρα τῶν ἀνθρώ-
20 πων τὸν Ἀδὰμ ἔδωκεν τοῖς ἀνθρώποις τὸν ἑαυτοῦ πατέρα ἀθάνατον κατὰ τὸ λεγόμενον δέδωκεν
Ioh. 1, 12 αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι. ὅθεν καὶ θανάτου κατὰ σάρκα γεύεται ὁ υἱὸς τοῦ
θεοῦ διὰ τὸν σαρκικὸν αὐτοῦ πατέρα, ἵνα οἱ υἱοὶ τοῦ ἀνθρώπου τῆς ζωῆς αὐτοῦ μεταλάβωσι διὰ
τὸν κατὰ πνεῦμα αὐτῶν πατέρα τὸν θεόν. αὐτὸς οὖν κατὰ φύσιν υἱός ἐστιν τοῦ θεοῦ, ἡμεῖς δὲ
κατὰ χάριν. καὶ πάλιν αὐτὸς κατ' οἰκονομίαν καὶ δι' ἡμᾶς υἱὸς γέγονε τοῦ Ἀδάμ, ἡμεῖς δὲ
25 κατὰ φύσιν ἐσμὲν υἱοὶ τοῦ Ἀδάμ. πατὴρ γάρ ἐστιν αὐτοῦ ὁ θεὸς κατὰ φύσιν, ἡμῶν δὲ κατὰ
χάριν. καὶ θεὸς αὐτοῦ γέγονε κατ' οἰκονομίαν, διότι γέγονεν ἄνθρωπος, ἡμῶν δὲ κατὰ φύσιν
L V 689 δεσπότης ἐστὶν καὶ θεός. καὶ διὰ τοῦτο ὁ λόγος, ὅς ἐστιν υἱὸς τοῦ πατρός, ἑνωθεὶς σαρκὶ γέγονε
σάρξ, ἵνα οἱ ἄνθρωποι ἑνωθέντες τῶι πνεύματι γένωνται ἓν πνεῦμα. αὐτὸς οὖν ὁ ἀληθινὸς υἱὸς
τοῦ θεοῦ τοὺς πάντας ἡμᾶς φορεῖ, ἵνα οἱ πάντες τὸν ἕνα φορέσωμεν θεόν. καὶ ἔστι καὶ μετὰ
30 τὴν ἐνανθρώπησιν εἷς τῆς ἁγίας τριάδος ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς
σύνθετος ἐξ ἑκατέρας φύσεως. σύνθετον δὲ τὸν Χριστὸν ὁμολογοῦμεν τῆι τῶν ἁγίων πατέρων
ἀκολουθοῦντες διδασκαλίαι. ἐπὶ γὰρ τοῦ κατὰ Χριστὸν μυστηρίου ἡ κατὰ σύνθεσιν ἕνωσις
τὴν σύγχυσιν καὶ διαίρεσιν ἀποβάλλεται, καὶ φυλάττει μὲν τὴν ἑκατέρας φύσεως ἰδιότητα, μίαν
δὲ ὑπόστασιν ἤτοι πρόσωπον τοῦ θεοῦ λόγου καὶ μετὰ τῆς σαρκὸς δείκνυσι καὶ ἔστιν εἷς καὶ ὁ
35 αὐτὸς τέλειος ἐν θεότητι καὶ τέλειος ἐν ἀνθρωπότητι, οὐχ ὡς ἐν δυσὶν ὑποστάσεσιν ἤγουν προσώ-
ποις, ἀλλ' ἐν θείαι φύσει καὶ ἀνθρωπίνηι γνωριζόμενος, ἵν' εἷς ἦι τὰ ἑκάτερα, τέλειος θεὸς καὶ
τέλειος ἄνθρωπος, ὁ αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ εἷς τῆς ἁγίας τριάδος συνδοξαζό-
μενος τῶι πατρὶ καὶ τῶι ἁγίωι πνεύματι. οὔτε γὰρ τετάρτου προσώπου προσθήκην ἐπεδέξατο

VMX

1 ἔστιν ὁ αὐτὸς X corr. 12 ὁ om. MX ἀθάνατος ὢν X θανάτου ἠνέσχετο X 13 οὐκ ἐκ X Δαυὶδ] ἀλλὰ X 18 μόνον om. X 19 ἔχωμεν VM ἔχομεν μόνον X 20 τὸν — πρα τοῖς ἀνοις X τὸν ἀθάνατον X corr. 23 δὲ om. V 25 αὐτοῦ ἐστὶν V 26 αὐτοῦ VMX *ei* Λ γέγονεν ΧΛ om. VM 27 ὅ X 29 καὶ² om. X 30 ὁ χσ V 31 σύνθετος — φύσεως om. X 34 ἤτοι V 36 ἀνθρωπεία X 38 ἐδέξατο X

et perfectionem naturae humanae. et est unigenitus quidem et uerbum utpote ex deo patre natus, et primogenitus autem in multis fratribus idem ipse, cum factus est homo. filius enim dei filius hominis factus est et manens quod erat, non transmutauit quod factus est. unde et duas natiuitates eiusdem ipsius unigeniti dei uerbi confitemur, ante saecula quidem ex patre incorporaliter nati, in ultimis autem diebus eiusdem ipsius incarnati et nati de sancta gloriosa dei genetrice et semper uirgine Maria. qui enim de patre splenduit supra intellectum, ex matre ortus est supra rationem et cum deus uerus esset, factus est uere homo. ideo proprie et uere dei genetricem sanctam gloriosam et semper uirginem Mariam confitemur, non quia deus uerbum initium ex ipsa accepit, sed quod in ultimis diebus unigenitus deus uerbum, qui ante saecula erat, incarnatus ex ipsa immutabiliter homo factus est. et cum inuisibilis in suis esset, uisibilis factus est in nostris, et cum inpassibilis deus esset, non dedignatus est passibilis esse homo et inmortalis mortis legibus subiacere. istum qui in Bethleem de semine Dauid natus est secundum carnem et similis factus hominibus et crucifixus est pro hominibus sub Pontio Pilato, praedicauerunt sancti apostoli ipsum esse deum, ipsum hominem, ipsum filium dei, ipsum filium hominis, ipsum de caelo, ipsum de terra, ipsum inpassibilem, ipsum passibilem. deus enim uerbum, qui natus est de sursum ex patre ineffabiliter inenarrabiliter inconprehensibiliter sempiterne, ipse in tempore nascitur deorsum de uirgine Maria, ut illi qui deorsum prius nati sunt, de sursum secundo nascerentur, id est ex deo. ipse igitur matrem tantummodo habet super terram et nos patrem tantummodo habemus in caelo. cum enim accepisset mortalem patrem hominum Adam, dedit hominibus suum patrem inmortalem secundum hoc quod dicitur dedit eis potestatem filios dei fieri. unde et mortem secundum carnem gustat filius dei propter carnalem suum patrem, ut filii hominis uitae eius participes fierent propter suum secundum spiritum patrem deum. ipse igitur secundum naturam filius est dei, nos autem secundum gratiam, et iterum ipse secundum dispensationem et propter nos filius fuit Adam, nos autem secundum naturam sumus filii Adam. pater enim est eius deus secundum naturam, noster autem secundum gratiam. et deus ei fuit secundum dispensationem eo quod homo factus est, noster autem secundum naturam dominus est et deus. et ideo deus uerbum, qui est filius patris, unitus carni factus est caro, ut homines uniti spiritui fierent unus spiritus. ipse igitur uerus filius dei omnes nos indutus est, ut omnes induamur unum deum. et est et post incarnationem unus de sancta trinitate unigenitus filius dei dominus noster Iesus Christus compositus ex utraque natura. conpositum autem Christum confitemur sanctorum patrum doctrinam sequentes. in mysterio enim Christi unitas secundum compositionem confusionem et diuisionem reicit, et seruat quidem utriusque naturae proprietatem, unam autem subsistentiam seu personam dei uerbi et cum carne ostendit et est unus idemque perfectus in deitate et perfectus in humanitate, non tamquam in duabus subsistentiis siue personis, sed in diuina natura et humana cognoscendus, ut unus sit utraque, perfectus deus et perfectus homo, idem ipse dominus noster Iesus Christus, unus de sancta trinitate conglorificandus patri et sancto spiritui. nec enim quartae personae

---

PD

2 et *om. P* est *om. P* 7 orationem *D* 30 unitus — factus *P* unitais [*corr. in* unitus] carnificatus *D* unitui *D* 31 et[1] *del. P*

2 Tim. 1, 14 ἡ ἁγία τριὰς καὶ σαρκωθέντος τοῦ ἑνὸς τῆς ἁγίας τριάδος θεοῦ λόγου. ταύτην τὴν καλὴν παρακαταθήκην, ἣν παρὰ τῶν ἁγίων πατέρων εἰλήφαμεν, φυλάττομεν, ἐν ᾗ ζῶμεν καὶ πολιτευόμεθα, καὶ ἣν συνέκδημον λάβοιμεν, τὴν εἰς πατέρα καὶ Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ ζῶντος καὶ ἅγιον πνεῦμα ὁμολογίαν.

Ταῦτα οὕτως ὁμολογοῦντες πρὸς ταῖς ἄλλαις τοῦ ἐν ἁγίοις Κυρίλλου περὶ τῆς ὀρθῆς πίστεως
PG 1001 διδασκαλίαις καὶ τὸ εἰρημένον παρ' αὐτοῦ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην δεχόμενοι ὁμολογοῦμεν ὅτι ἐκ τῆς θείας φύσεως καὶ τῆς ἀνθρωπίνης εἷς Χριστὸς ἀπετελέσθη καὶ οὐ μία φύσις, καθὼς τινὲς κακῶς τὴν λέξιν ἐκλαμβάνοντες λέγειν ἐπιχειροῦσιν. ἀμέλει τοι καὶ αὐτὸς ὁ πατὴρ ὁσάκις μίαν φύσιν εἶπεν τοῦ λόγου σεσαρκωμένην, ἐπὶ τούτου τῶι τῆς φύσεως ὀνόματι ἀνθ' ὑποστάσεως ἐχρήσατο. καὶ ἐν οἷς λόγοις εἶπεν ταύτην τὴν λέξιν, ἐν τοῖς ἑφεξῆς ὡς ἐπὶ τὸ πλεῖστον ἐπήγαγεν ποτὲ μὲν υἱόν, ποτὲ δὲ λόγον ἢ μονογενῆ, ἅπερ οὐ φύσεως, ἀλλ' ὑποστάσεως ἤτοι προσώπου ἐστὶ δηλωτικά. ἡ τοίνυν ὑπόστασις τοῦ λόγου σαρκωθεῖσα οὐ μίαν φύσιν, ἀλλ' ἕνα Χριστὸν σύνθετον ἀπετέλεσεν, τὸν αὐτὸν θεὸν καὶ ἄνθρωπον. θεὸν δὲ καὶ ἄνθρωπον τὸν Χριστὸν ὁμολογοῦντας μίαν φύσιν ἤτοι οὐσίαν ἐπ' αὐτοῦ λέγειν ἀσεβές. ἀδύνατον γὰρ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ μίαν καὶ τὴν αὐτὴν φύσιν ἤτοι οὐσίαν καὶ πρὸ αἰώνων εἶναι καὶ ἐν χρόνωι ἢ ἀπαθῆ καὶ παθητόν, ὅπερ ἐπὶ τῆς μιᾶς αὐτοῦ ὑποστάσεως ἤτοι προσώπου ὀρθῶς ὁμολογοῦμεν. ἐξ αὐτῶν δὲ τῶν εἰρημένων τῶι αὐτῶι ἐν ἁγίοις Κυρίλλωι ἀποδείξομεν τὴν περὶ τῆς εἰρημένης λέξεως σαφεστάτην αὐτοῦ διδασκαλίαν. ἐν γὰρ τῆι πρώτηι πρὸς Σούκενσον ἐπιστολῆι εἰπὼν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην εὐθὺς ἐπήγαγεν

Act. Conc. I 1, 6 p. 153, 23–154, 3 Οὐκοῦν ὅσον μὲν ἦκεν εἰς ἔννοιαν καὶ εἴς γε μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς ὄμμασι τίνα τρόπον ἐνηνθρώπησεν ὁ μονογενής, δύο τὰς φύσεις εἶναι φαμέν, ἕνα δὲ υἱὸν καὶ Χριστὸν καὶ κύριον τὸν τοῦ θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον.

Διὰ τούτων δὲ ὁ πατὴρ τὸν τρόπον τῆς ἐνανθρωπήσεως παραστῆσαι βουλόμενος καὶ τὸ ἀδιαί-
L V 692 ρετον καὶ ἀσύγχυτον φυλάττων καὶ τὸν ἀριθμὸν τῶν συνελθουσῶν φύσεων ἔδειξεν καὶ ἕνα Χριστὸν ἐκήρυξεν, ἀλλ' οὐχὶ μίαν φύσιν θεότητος καὶ σαρκός. καὶ ἐν τῆι δευτέραι δὲ πρὸς τὸν αὐτὸν Σούκενσον ἐπιστολῆι τὰ παραπλήσια διδάσκων γράφει οὕτως

Act. Conc. l. c. p. 160, 19–161, 8 Εἰ μὲν γὰρ μίαν εἰπόντες τοῦ λόγου φύσιν σεσιγήκαμεν οὐκ ἐπενεγκόντες τὸ σεσαρκωμένην, ἀλλ' οἷον ἔξω θέντες τὴν οἰκονομίαν, ἣν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος ὁ λόγος προσποιουμένοις ἐρωτᾶν ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι ἢ πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία· ἐπειδὴ δὲ καὶ ἡ ἐν ἀνθρωπότητι τελειότης καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν 'σεσαρκωμένην', παυσάσθωσαν καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες. τοῦ γὰρ ἐκβάλλοντος τὴν οἰκονομίαν καὶ ἀρνουμένου τὴν σάρκωσιν ἦν τὸ ἐγκαλεῖσθαι δικαίως, ἀφαιρουμένου τὸν υἱὸν τῆς τελείας ἀνθρωπότητος· εἰ δέ, ὡς ἔφην, ἐν τῶι σεσαρκῶσθαι λέγειν αὐτὸν σαφής ἐστι καὶ ἀναμφίβολος ὁμολογία τοῦ ὅτι γέγονεν ἄνθρωπος, οὐδὲν ἔτι κωλύει νοεῖν ὡς εἷς ὑπάρχων καὶ μόνος υἱὸς ὁ Χριστὸς ὁ αὐτὸς θεός ἐστι καὶ ἄνθρωπος, ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος. ὀρθότατα δὲ καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου

VMX

1 ἁγίας om. M 3 τὴν om. MV τὸν ζῶντα X 5 ἁγίου X 8 κακῶς om. M τοι om. X 9 τούτου τῶι] τοῦτο X 14 ὁμολογοῦντες M ὁμολογεῖν καὶ X in ras. αὐτῶ V 17 τοῦ αὐτοῦ — κυρίλλου V ἀποδείξωμεν VM 18 προσούκενσον V 20 μόνον MX Cyrill. μονώσ V 21 ἐνηνθρώπηκεν V 29 πῶσ MX Cyrill. το πῶσ V 32 τὸ ἐγκαλεῖσθαι om. V 33 σαρκοῦσθαι X 34 ἔτι om. V ἐστι X κολύειν X τὸ κολύον X corr. 36 πάνυ] πάλιν X

adiectionem suscepit sancta trinitas et incarnato uno de sancta trinitate deo uerbo. istam igitur bonam traditionem, quam a sanctis patribus accepimus, custodimus, in qua uiuimus et conuersamur et quam ab hac uita proficiscentes oramus nobiscum habere, quae est in patrem et Christum filium dei uiui et sanctum spiritum confessio.

Haec ita confitentes super alias sancti Cyrilli de fide recta doctrinas et hoc quod dictum est ab ipso, unam naturam dei uerbi incarnatam suscipientes confitemur quod ex diuina natura et humana unus Christus effectus est, et non una natura, prout quidam male intellegentes dictionem conantur dicere. unde et ipse pater quotiens unam naturam dixit uerbi incarnatam, in hoc naturae nomine pro subsistentia usus est. et in quibus libris dixit hanc dictionem, in sequentibus saepius intulit est quando filium, est quando uerbum aut unigenitum, quae non naturam, sed subsistentiam seu personam significant. subsistentia igitur uerbi incarnata non unam naturam, sed unum Christum compositum effecit, eundem ipsum deum et hominem. eos autem qui deum et hominem Christum confitentur, unam naturam siue substantiam ipsius dicere impium est. inpossibile enim est dominum nostrum Iesum Christum secundum unam eandemque naturam seu substantiam et ante saecula esse et in tempore aut inpassibilem et passibilem, quod in una subsistentia siue persona eius recte confitemur. ex ipsis autem dictis eiusdem sancti Cyrilli ostendemus de memorata dictione manifestam ipsius doctrinam. in prima enim ad Successum epistula cum dixisset unam naturam dei uerbi incarnatam, statim intulit

Ergo quantum quidem ad intellectum pertinet et ad uidendum tantummodo oculis animae quemadmodum incarnatus est unigenitus, duas naturas esse dicimus, unum autem filium et Christum et dominum deum uerbum incarnatum et hominem factum.

Per ista autem pater modum incarnationis uolens manifestare et indiuisam et inconfusam custodiens unitionem, et numerum naturarum quae conuenerunt, demonstrauit et unum Christum praedicauit et non unam naturam deitatis et carnis. et in secunda autem ad eundem Successum epistola similia docens ita scribit

Nam si quidem unam dicentes uerbi naturam tacuissemus non inferentes ‚incarnatam', sed quasi extra ponentes dispensationem, erat illis forsitan et uerisimilis ratio confingentibus interrogare ubi perfectio in humanitate uel quomodo substitit humana substantia; quoniam autem et perfectio in humanitate et nostrae substantiae demonstratio introducta est dicendo ‚incarnatam', cessent harundineam uirgam sibi subponentes. eicientem enim dispensationem et abnegantem incarnationem oportebat iuste accusari auferentem a filio perfectam humanitatem; sin autem, ut dixi, incarnatum esse dicendo ipsum manifesta est et indubitabilis confessio quod factus est homo, nihil iam prohibet intellegere quia cum unus sit et solus filius Christus, idem ipse deus et homo, sicut in deitate perfectus, ita et in humanitate perfectus. rectissime autem et nimis prudenter tua perfectio de salutari pas-

---

PD

1 et *PD* ex *P in mg.* 2 bonum *D* 5 itaque *P* alia *D* 11 significat *D* 15 eandemque *om. D* 17/18 ostendimus *D* 19 et incarnatam *P* 21 unam *P* 29 humana *PD* καθ' ἡμᾶς Γ *et Cyrillus*

πάθους ἐκτίθεται λόγον οὐκ αὐτὸν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, καθ' ὃ νοεῖται καὶ ἔστι θεός, παθεῖν εἰς ἰδίαν φύσιν τὰ σώματος ἰσχυριζομένη, παθεῖν δὲ μᾶλλον τῇι χοικῇι φύσει. δεῖ γὰρ ἀναγκαίως ἀμφότερα σώιζεσθαι τῶι ἑνὶ καὶ κατὰ ἀλήθειαν υἱῶι καὶ τὸ μὴ πάσχειν θεικῶς καὶ
4 τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως. ἡ αὐτοῦ γὰρ πέπονθεν σάρξ.

PG 1003 Καὶ ἐν τῶι τρισκαιδεκάτωι δὲ κεφαλαίωι τῶν Σχολίων ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ὁμοίως ἀποβαλλόμενος τούς τε δύο υἱοὺς εἰσάγοντας τούς τε μίαν φύσιν λέγοντας τῆς θεότητος καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ γράφει οὕτως

Act. Conc. I 5 p. 222, 31–33 Οὐ διοριστέον οὖν ἄρα τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν εἰς ἄνθρωπον ἰδικῶς καὶ εἰς θεὸν ἰδικῶς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν κύριον Ἰησοῦν Χριστὸν φαμὲν τὴν τῶν φύσεων εἰδότες διαφορὰν καὶ
10 ἀσυγχύτους ἀλλήλαις τηροῦντες αὐτάς.

Εἰ τοίνυν, καθὼς διδάσκει ὁ ἐν ἁγίοις Κύριλλος, εἷς ἐστιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, τέλειος ἐν θεότητι καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι καὶ οὐκ ἔπαθεν τῇι θείαι φύσει, ἀλλὰ τῇι χοικῇι φύσει, οἶδεν δὲ καὶ τὴν τῶν φύσεων διαφορὰν καὶ τὸ ἀσυγχύτους αὐτὰς ἀλλήλαις ἐν μιᾶι ὑποστάσει φυλάττεσθαι, δῆλον ὅτι τὸν αὐτὸν ἐν τῇι θείαι φύσει καὶ τῇι ἀνθρωπίνηι λέγει
15 ὁ πατὴρ γνωρίζεσθαι καὶ ἑκατέραν φύσιν ἐν αὐτῶι εἶναι, ἐξ ὧν καὶ συνετέθη. καὶ οὐκ ἄν τις οὕτω μανείη, ὡς ὀρθῶς νομίσαι φρονεῖν τοὺς λέγοντας μίαν εἶναι φύσιν ἤτοι οὐσίαν σαρκὸς καὶ θεότητος τοῦ Χριστοῦ τὴν αὐτὴν θείαν καὶ χοικήν, παθητὴν καὶ ἀπαθῆ.

Ἐπειδὴ δὲ καὶ ἑτέρωθεν κατασκευάζειν ἐπιχειροῦσι τινὲς τὸ μίαν εἶναι φύσιν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ τὸ τοῦ ἀνθρώπου παράδειγμα προβαλλόμενοι καὶ λέγοντες
20 ὅτι ὥσπερ ἐξ ἑτεροφυῶν, ψυχῆς καὶ σώματος, συνεστὼς ὁ ἄνθρωπος μία φύσις λέγεται, οὕτω καὶ ἐκ δύο φύσεων, θεότητος καὶ ἀνθρωπότητος, τὸν Χριστὸν λέγοντες ὀφείλομεν μίαν φύσιν ἐπ' αὐτοῦ λέγειν, ἐκεῖνο πρὸς αὐτοὺς ἐροῦμεν ὅτι ὁ μὲν ἄνθρωπος κἂν ἐκ διαφόρων συνέστηκεν, τουτέστι ψυχῆς καὶ σώματος, ὅμως διὰ τοῦτο μία φύσις λέγεται, ἐπειδὴ κοινῶς κατὰ πασῶν τῶν ὑποστάσεων ἢ γοῦν προσώπων τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἀναγομένων κατηγορεῖται. εἰ καὶ τὰ
25 μάλιστα γὰρ ἑκάστη ὑπόστασις ἤτοι πρόσωπον, οἷον Πέτρος καὶ Παῦλος, τοῖς ἰδιώμασιν ἀπ'
L V 693 ἀλλήλων διαχωρίζονται, ἀλλ' ὅμως οὐ τῇι φύσει διαιροῦνται· ἀμφότεροι γὰρ ἄνθρωποι. καὶ πάλιν οὔτε ψυχὴ χωρὶς σώματος οὔτε σῶμα χωρὶς ψυχῆς ἄνθρωπος, ἀλλ' ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἐκ ψυχῆς καὶ σώματος ἐδημιουργήθη. πᾶν δὲ κτίσμα εἰ καὶ ἐκ διαφόρων συνέστηκεν, ἀλλ' οὖν μίαν ἐκείνην ἔχειν λέγεται φύσιν καθ' ἣν παρὰ τοῦ θεοῦ ἐδημιουργήθη· ὁ δὲ Χριστὸς οὐχ
30 οὕτως. οὔτε γὰρ μίαν φύσιν ἢ γοῦν οὐσίαν δηλοῖ κοινῶς κατὰ πολλῶν ὑποστάσεων ἤτοι προσώπων κατηγορουμένην, ὥσπερ ὁ ἄνθρωπος (εἰ γὰρ τοῦτο ἦν, πολλοὶ Χριστοὶ εὑρεθήσονται καθ' ὧν τὸ κοινὸν τῆς μιᾶς φύσεως κατηγορεῖτο, ὅπερ καὶ λέγειν ἐστὶν ἀσεβές)· ἀλλ' οὔτε ἀπ' ἀρχῆς ἐκ θεότητος καὶ ἀνθρωπότητος, ὥσπερ ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος, ὁ Χριστὸς ἐδημιουργήθη, ἵνα τοῦτο ᾖι φύσις Χριστοῦ, ἀλλὰ θεὸς ὢν πρὸ αἰώνων ὁ λόγος καὶ τῆς αὐτῆς
35 φύσεως ἤτοι οὐσίας ὑπάρχων τῶι πατρὶ καὶ δημιουργὸς τῶν ἁπάντων, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἀνθρώπου φύσιν καθ' ὑπόστασιν ἑνώσας ἑαυτῶι γέγονεν ἄνθρωπος μὴ ἐκστὰς τοῦ εἶναι θεός.

Ἔστιν οὖν ὁ Χριστὸς μία ὑπόστασις ἤτοι πρόσωπον καὶ ἔχει τὸ τέλειον ἐν ἑαυτῶι τῆς τε θείας καὶ ἀκτίστου φύσεως καὶ τὸ τέλειον τῆς ἀνθρωπίνης καὶ κτιστῆς φύσεως. πῶς οὖν ἐν ὧι δύο

VMX

3 καὶ[1] om. X υἱῶι om. V καὶ τὸ X καὶ τῶ M τῶ καὶ V 4 τῶ M αὐτοῦ γὰρ MV αὐτοῦ X γὰρ αὐτοῦ X corr. 6 τῆς[1] om. V 8 διορίζομεν X θεὸν] ἢ V 13 διαφορῶν X τὸ om. X 20 σύνθετος X 22 αὐτῶ V 23 τῶν om. X 27 ανος MX ἀνθρωπότητος V 28 εἰ καὶ] ὃ X corr. 29 ἀλλ' οὖν del. X 31 εὑρεθήσονται in εὑρέθησαν corr. X 32 κατηγορεῖτο MXΛ κατηγορεῖται V

sione rationem exponit, non ipsum unigenitum filium dei secundum quod intellegitur et est deus, passum esse in sua natura quae sunt corporis, adfirmans, magis autem passum esse terrena natura. oportet enim necessario utraque seruari uni et uere filio et non pati secundum deitatem et dici passum esse eundem ipsum secundum humanitatem; ipsius enim passa est caro.

Et in tertiodecimo capitulo Scholiorum idem sanctus Cyrillus similiter reiciens eos qui duos filios introducunt, et eos qui unam dicunt naturam deitatis et carnis Christi, ita scribit:

Non discernendum unum dominum Iesum Christum in hominem separatim et in deum separatim, sed unum eundemque dominum Iesum Christum dicimus naturarum scientes differentiam et inconfusas eas sibi inuicem conseruantes.

Si igitur, prout docet nos sanctus Cyrillus, unus est dominus noster Iesus Christus, perfectus in deitate et perfectus idem ipse in humanitate, et non est passus diuina natura, sed terrena natura, scit autem et naturarum differentiam et quod inconfusae sibi inuicem in una subsistentia conseruantur, certum est quod eundem ipsum in diuina natura et in humana dicit pater cognosci et utramque naturam in ipso esse, ex quibus et compositus est. et non aliquis sic insaniat, ut arbitretur eos recte sapere qui dicunt unam esse naturam siue substantiam carnis et deitatis Christi, eandem diuinam et terrenam, passibilem et impassibilem.

Quoniam autem et alio modo quidam ostendere conantur unam esse naturam deitatis et humanitatis Christi exemplum hominis proponentes et dicentes quod sicut ex diuersis naturis, anima et corpore, consistens homo una natura dicitur, sic et ex duabus naturis deitatis et humanitatis Christum dicentes debemus unam ipsius dicere naturam, illud ad eos dicemus quod homo quidem licet ex diuersis constet, id est anima et corpore, tamen ideo una natura dicitur, quoniam in omnibus subsistentiis siue personis quae sub eadem specie referuntur, communiter praedicatur. licet enim unaquaeque subsistentia siue persona, sicut Petrus et Paulus, proprietatibus a se inuicem separentur, sed tamen non natura diuiduntur, ambo enim homines. et iterum nec anima sine corpore nec corpus sine anima homo est, sed ex eo quod non erat, ad hoc quod est, ex anima et corpore creatus est. unaquaeque autem creatura licet ex diuersis constet, sed tamen unam illam habere dicitur naturam secundum quam ex deo creata est, Christus autem non sic; nec enim unam naturam siue substantiam significat, quae communiter in plurimis subsistentiis siue personis praedicatur sicut homo. si enim hoc esset, multi Christi inuenirentur, in quibus communitas unius naturae praedicabatur, quod et dicere impium est. sed neque ab initio ex deitate et humanitate sicut homo ex anima et corpore Christus creatus est, ut hoc sit natura Christi, sed cum deus esset ante saecula dei uerbum et esset eiusdem naturae siue substantiae patri et creator omnium, in ultimis diebus hominis naturam secundum subsistentiam sibi uniens factus est homo manens deus.

Est igitur Christus una subsistentia siue persona et habet in semet ipso perfectionem diuinae et increabilis naturae et perfectionem humanae et creabilis naturae. quomodo igitur in quo duae naturae cognoscuntur, increabilis et creabilis, in eo unam naturam siue

6 Scholiorum] id est difficilium uel diuersarum quaestionum *P in mg.*

PD

1 non *om. D* 2 passus *D* passus *D* 3 uero *P* 6 eiciens *P* 21 exsistens *D* 23 eosdem *P* 25 unaquaque *D* 26 separantur *PD* 29 consistet *D* 40 et] est *D*

φύσεις γνωρίζονται, ἄκτιστος καὶ κτιστή, ἐπὶ τούτου μίαν φύσιν ἤτοι οὐσίαν λέγεσθαι δυνατόν;
PG 1005 εἰ γὰρ καὶ μία ὑπόστασις ἤτοι πρόσωπον ὁ Χριστός, ἀλλ' ὁμοούσιος τῶι θεῶι καὶ πατρὶ καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτός, οὐ μὴν κατὰ μίαν καὶ τὴν αὐτὴν φύσιν ἤτοι οὐσίαν. εἰ δὲ μία φύσις ἤτοι οὐσία ἦν ὁ Χριστός, ἢ ἄσαρκος ὢν μόνωι τῶι θεῶι καὶ πατρί ἐστιν ὁμοούσιος, ἐπειδὴ μία τῆς θεότητος οὐσία ἤτοι φύσις, ἢ ψιλὸς ὢν ἄνθρωπος μόνοις ἡμῖν ἐστιν ὁμοούσιος, ἐπειδὴ μία φύσις τῆς ἀνθρωπότητος, ἢ τραπεῖσα ἑκατέρα φύσις ἑτεροφυές τι ἀπετέλεσε παρὰ τὰς συνελθούσας καὶ κατ' αὐτοὺς οὔτε θεὸς ἔμεινεν οὔτε ἄνθρωπος γέγονεν ὁ Χριστὸς καὶ διὰ τοῦτο οὔτε τῶι πατρὶ οὔτε ἡμῖν ἐστιν ὁ αὐτὸς ὁμοούσιος. τὸ δὲ οὕτως φρονεῖν πάσης πεπλήρωται ἀσεβείας. καὶ ταῦτα λέγομεν οὐκ ἀγνοοῦντες ὅτι καὶ τινὲς τῶν ἁγίων πατέρων τῶι τοῦ ἀνθρώπου ὑποδείγματι ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου ἐχρήσαντο, ἀλλ' ἐκεῖνοι μέν, ἵνα δείξωσιν ὅτι καθάπερ ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος εἷς ἀποτελεῖται καὶ οὐχὶ δύο ἄνθρωποι, οὕτω καὶ ὁ Χριστὸς ἐκ θεότητος καὶ ἀνθρωπότητος συντεθεὶς εἷς ἐστι καὶ οὐκ εἰς δύο Χριστοὺς ἢ δύο υἱοὺς μερίζεται, οὗτοι δὲ τῶι τοῦ ἀνθρώπου ὑποδείγματι κέχρηνται, ἵνα μίαν φύσιν ἤτοι οὐσίαν θεότητος καὶ ἀνθρωπότητος τοῦ Χριστοῦ εἰσάγωσιν, ὅπερ ἀπεδείξαμεν ἀλλότριον εἶναι τῆς εὐσεβείας.

Ἀλλὰ διὰ τούτων ἐλεγχόμενοι ὡς παρὰ τὴν ὀρθὴν τῶν πατέρων διδασκαλίαν ἀναπλάττουσιν ἑαυτοῖς μίαν φύσιν ἤτοι οὐσίαν θεότητος καὶ σαρκός, ἐφ' ἕτερα μεταβαίνουσι λέγοντες μὴ δεῖν ἀριθμὸν φύσεων ἐπὶ Χριστοῦ λέγειν ὡς τοῦ ἀριθμοῦ διαίρεσιν εἰσάγοντος. ἴστωσαν τοίνυν ὅτι ὁ ἀριθμὸς ὅταν μὲν ἐπὶ διαφόρων προσώπων ἢ ὑποστάσεων λέγεται, τῶν πραγμάτων αὐτῶν τὴν ἀνὰ μέρος ἔχει διαίρεσιν, οἷον ὡς ἐπὶ δύο ἢ πλειόνων ἀνθρώπων· ὅταν δὲ ἐπὶ ἡνωμένων πραγμάτων, τηνικαῦτα λόγωι μόνωι καὶ θεωρίαι, οὐ μὴν αὐτῶν τῶν πραγμάτων ἔχει τὴν διαίρεσιν,
L V 696 οἷον ἐπὶ μιᾶς ὑποστάσεως ἀνθρώπου ἐκ ψυχῆς καὶ σώματος συνεστώσης. δύο γὰρ καὶ ἐνταῦθα φύσεις θεωροῦνται, ἑτέρα τῆς ψυχῆς καὶ ἑτέρα τοῦ σώματος, καὶ ὅμως οὐ διὰ τοῦτο εἰς δύο ἀνθρώπους διαιρεῖται, ἀλλ' ἕνα ἴσμεν τὸν ἄνθρωπον καὶ μίαν αὐτοῦ τὴν ὑπόστασιν. καὶ ἐπὶ τοῦ κατὰ Χριστὸν τοίνυν μυστηρίου τῆς ἑνώσεως γενομένης, εἰ καὶ διάφορα θεωρεῖται τὰ ἑνωθέντα, ἀλλ' οὖν οὐ πραγματικῶς καὶ ἀνὰ μέρος ἀλλήλων διίστανται τὰ ἐξ ὧν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς συνετέθη, τὴν μέντοι διαφορὰν κατανοοῦντες καὶ ταύτην σημᾶναι βουλόμενοι τὸν ἀριθμὸν παραλαμβάνομεν καὶ δύο τὰς ἐν Χριστῶι φύσεις εἶναι φαμὲν καὶ οὐ διὰ τοῦτο ὁ εἷς Χριστὸς εἰς δύο Χριστοὺς ἢ δύο υἱοὺς διαιρεῖται. καὶ μαρτυρεῖ τοῖς παρ' ἡμῶν εἰρημένοις ὁ ἐν ἁγίοις Γρη-
ep. 101 γόριος ὁ θεολόγος ἐν τῶι πρὸς Κληδόνιον πρώτωι λόγωι γράφων οὕτως

Εἴ τις εἰσάγει δύο υἱούς, ἕνα μὲν τὸν ἐκ τοῦ θεοῦ καὶ πατρός, δεύτερον δὲ τὸν ἐκ τῆς μητρός, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτόν, καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσιν. φύσεις μὲν γὰρ δύο θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο οὐδὲ
2 Cor. 4, 16 θεοί. οὐδὲ γὰρ ἐνταῦθα δύο ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου καὶ τὸ ἐκτὸς προσηγόρευσε. καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτήρ, εἴπερ
PG 1007 μὴ ταυτὸν τὸ ἀόρατον τῶι ὁρατῶι καὶ τὸ ἄχρονον τῶι ὑπὸ χρόνον, οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο.

VMX

2 καὶ[1] om. V καὶ $\overline{\text{πρι}}$ VXΛ $\overline{\text{πρι}}$ M 7 οὐδὲ MX οὐδὲ MX 9 ἁγίων om. X 15 τούτω V 16 ἐν ἑαυτοῖσ V corr. 20 μόνω λόγω V ante αὐτῶν add. πράγματι X corr. 22 ἑτέρα μὲν V 23 ἓν X 26 ὁ $\overline{\text{χσ}}$ V 27 παραλαμβάνωμεν V ὁ om. M 28 ἡμῖν X 30 τοῦ om. X τῆς om. X 34 τὸ] τὰ M 35 τὸ ἀόρατον MΛ Gregor. τὸ ὁρατὸν X ὁ ἀόρατοσ V ἀοράτω X ὑπὸ χρόνον] ἀχρόνω X

substantiam dici possibile est? licet enim una subsistentia siue persona Christus sit, sed consubstantialis deo et patri et consubstantialis nobis idem ipse est, non tamen secundum unam eandemque naturam seu substantiam. sin autem una natura siue substantia esset Christus, aut sine carne est et soli deo patri consubstantialis est, quoniam una deitatis substantia siue natura est; aut purus homo existens nobis est solum consubstantialis, quoniam una natura humanitatis est; aut inmutata utraque natura alteram effecit naturam praeter eas quae conuenerunt, et secundum illos neque deus mansit neque homo factus est Christus, et ideo neque patri neque nobis idem ipse consubstantialis est. sic autem sapere omni plenum est impietate. et ista dicimus non ignorantes quod et quidam sanctorum patrum hominis exemplo in mysterio Christi usi sunt, sed illi quidem ut ostenderent quod sicut homo ex anima et corpore unus efficitur et non duo homines, sic et Christus ex deitate et humanitate compositus unus est, non in duos Christos uel in duos filios diuidendus, isti autem hominis exemplo utuntur, ut unam naturam siue substantiam deitatis et humanitatis Christi introducerent, quod demonstrauimus alienum esse pietatis. sed cum per haec conuincuntur quod praeter rectam patrum doctrinam sibi confingunt unam naturam seu substantiam deitatis et carnis, ad alia transeunt dicentes non oportere numerum naturarum in Christo dicere utpote numero diuisionem introducente. sciant igitur quod numerus quando in diuersis personis siue subsistentiis dicitur, rerum ipsarum per partes habet diuisionem sicut in duobus uel etiam pluribus hominibus; quando autem in rebus unitis, tunc uerbo solo et intellectu, non tamen ipsarum rerum habet diuisionem, sicut in una subsistentia hominis ex anima et corpore constituta. duae enim et hic naturae intelleguntur, altera animae et altera corporis, et tamen non propter hoc in duos homines diuiditur, sed unum scimus hominem esse et unam eius subsistentiam. et in mysterio igitur Christi facta unitione, licet diuersa intellegantur quae unita sunt, sed non ipsa re et per partes a se inuicem separantur ea ex quibus dominus noster Iesus Christus compositus est, differentiam tamen considerantes et hanc significare uolentes numerum adsumimus et duas in Christo naturas esse dicimus, nec ideo unus Christus in duos Christos uel in duos filios diuiditur. et testimonium praestat nostris dictis sanctus Gregorius theologus scribens in primo libro ad Cledonium sic

Si quis introducit duos filios, unum quidem ex deo patre, secundum autem ex matre, sed non unum eundemque, et adoptione cadat quae promissa est recte credentibus. naturae enim duae deus et homo, quomodo et anima et corpus, non autem duo filii nec dii duo. nec enim hic duo homines, licet Paulus sic appellauerit quod est intus hominis et quod est extrinsecus. et ut compendiose dicamus, aliud quidem et aliud ea ex quibus saluator est, cum non idem sit inuisibile et uisibile et hoc quod sine tempore est, et hoc quod sub tempore est, non autem alius et alius, absit.

PD

5 cum substantialis *D* 12 duo *D* duo *D* 22 duo *D* 24 intelleguntur *PD* 27 duo *D* duo *D*

Ἰδοὺ διὰ τούτων σαφῶς διδάσκει ὁ ἐν ἁγίοις Γρηγόριος ὅτι ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου ὁ μὲν ἐπὶ προσώπων τὸν ἀριθμὸν λέγων ὡς ἀσεβὴς κατακρίνεται, ὁ δὲ ἐπὶ τῶν φύσεων ἐξ ὧν ὁ εἷς συνετέθη Χριστός, τοῦτον παραλαμβάνων ὀρθῶς ὁμολογεῖ ὡς τὴν μὲν διαφορὰν τῶν συνελθουσῶν φύσεων διὰ τούτου σημαίνων, διαίρεσιν δὲ τὴν ἀνὰ μέρος κατ' οὐδένα τρόπον ποιούμενος. ὥσπερ γὰρ ἑτέρα φύσις τῆς ψυχῆς καὶ ἑτέρα τοῦ σώματος καὶ ὅμως εἷς κατὰ σύνθεσιν ἄνθρωπος ἀποτελεῖται καὶ οὐ δύο, οὕτω καὶ ἐν Χριστῶι εἰ καὶ δύο φύσεις θεωροῦνται, ἑτέρα μὲν τῆς θεότητος, ἑτέρα δὲ τῆς ἀνθρωπότητος, ἀλλ' οὐ διὰ τοῦτο δύο Χριστοὶ ἢ δύο υἱοὶ εἰσάγονται. ὥστε οἱ τὸν ἀριθμὸν τῶν ἐν Χριστῶι φύσεων κατὰ τὸν εἰρημένον τρόπον παραιτούμενοι λέγειν δῆλοί εἰσιν τὴν διαφορὰν τούτων ἀρνούμενοι καὶ σύγχυσιν ἐπεισάγοντες τῆι οἰκονομίαι. εἰ δὲ τὴν διαφορὰν ὁμολογοῦσιν, ἀνάγκη πάντως ἐπὶ ταύτηι καὶ τὸν ἀριθμὸν τῶν ἀσυγχύτως συνελθουσῶν φύσεων εἰς μίαν ὑπόστασιν λέγειν αὐτούς. ὅπου γὰρ διαφορὰ φυλάττεται, ταύτηι πάντως καὶ ἀριθμὸς ἕπεται.

Εἰς σύστασιν δὲ τῶν παρ' ἡμῶν εἰρημένων τῆι τῶν ἁγίων πατέρων μαρτυρίαι χρώμενοι δείξωμεν αὐτοὺς λέγοντας ὅτι ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου οἱ μὲν λόγοι διαιροῦνται κατὰ τὴν διαφορὰν τῶν φύσεων, θεότητος καὶ ἀνθρωπότητος, ἐξ ὧν καὶ συνετέθη, καὶ τὸν ἀριθμὸν ἐπὶ τούτου παραλαμβάνουσιν, οὐ μὴν πραγματικῶς καὶ ἀνὰ μέρος τὴν τῶν φύσεων ποιοῦνται διαίρεσιν εἰς δύο ὑποστάσεις ἤτοι πρόσωπα.

PG 69, 576 Λέγει γὰρ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῆι ἑρμηνείαι τοῦ Λευιτικοῦ οὕτως· ὅλον δὴ πάλιν ἐν τούτοις περιάθρει σαφῶς τοῦ σωτῆρος ἡμῶν τὸ μυστήριον καὶ τὸν διὰ τοῦ ἁγίου βαπτίσματος καθαρισμόν. δύο μὲν γὰρ ὀρνίθια ληφθῆναι κελεύει ζῶντα καὶ καθαρά, ἵνα νοήσηις διὰ L V 697 τῶν πετεινῶν τὸν οὐράνιον ἄνθρωπόν τε ὁμοῦ καὶ θεὸν εἰς δύο φύσεις, ὅσον ἦκεν εἰς τὸν ἑκάστηι πρέποντα λόγον, διαιρούμενον (λόγος γὰρ ἦν ὁ ἐκ θεοῦ πατρὸς ἀναλάμψας ἐν σαρκὶ τῆι ἐκ γυναικός), πλὴν οὐ μεριζόμενον· εἷς γὰρ ἐξ ἀμφοῖν ὁ Χριστός.

Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τῆι πρὸς Σούκενσον δευτέραι ἐπιστολῆι γράφει οὕτως· Act. Conc. I 1, 6 p. 162, 2–4 ἀλλ' ἠγνόησαν ὅτι ὅσα κατὰ μόνην τὴν θεωρίαν διαιρεῖσθαι φιλεῖ, ταῦτα οὐ πάντως καὶ εἰς ἑτερότητα τὴν ἀνὰ μέρος ὁλοτρόπως καὶ ἰδικῶς ἀποφοιτήσειεν ἂν ἀπ' ἀλλήλων.

PG 29, 704 Καὶ ὁ ἐν ἁγίοις δὲ Βασίλειος ἐν τῶι τετάρτωι κατὰ Εὐνομίου λόγωι ἑρμηνεύων τὸ κύριος Prou. 8, 22. 25 ἔκτισέν με καὶ πρὸ πάντων βουνῶν γεννᾶι με γράφει οὕτως· ληπτέον οὖν τὸ μὲν ἐγέννησεν ἐπὶ τοῦ θεοῦ υἱοῦ, τὸ δὲ ἔκτισεν ἐπὶ τοῦ τὴν μορφὴν τοῦ δούλου λαβόντος. ἐν πᾶσιν δὲ τούτοις οὐ δύο λέγομεν, θεὸν ἰδίαι καὶ ἄνθρωπον ἰδίαι· εἷς γὰρ ἦν· ἀλλὰ κατ' ἐπίνοιαν τὴν ἑκάστου φύσιν λογιζόμενοι.

PG 36, 113 Καὶ ὁ ἐν ἁγίοις δὲ Γρηγόριος ὁ θεολόγος ἐν τῶι περὶ υἱοῦ δευτέρωι λόγωι διδάσκων ἡμᾶς ὅπως δεῖ τὰς ἐν τῶι κυρίωι ἡμῶν Ἰησοῦ Χριστῶι φύσεις κατ' ἐπίνοιαν διακρίνειν, γράφει οὕτως· ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα. Παύλου λέγοντος Eph. 1, 17 ἄκουσον ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ πατὴρ τῆς δόξης, Χριστοῦ PG 1009 μὲν θεός, τῆς δὲ δόξης πατήρ. εἰ γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῆι φύσει, τῆι δὲ συνόδωι.

libr. III t. 4 p. 131, 24–132, 13 Jaeger Καὶ ὁ ἐν ἁγίοις δὲ Γρηγόριος ὁ Νύσης ἐπίσκοπος ἐν τῶι κατὰ Εὐνομίου τετάρτωι λόγωι τὰ αὐτὰ ἡμᾶς διδάσκων γράφει οὕτως· καὶ ὡς ἂν μή τις τῆι ἀκηράτωι φύσει τὸ κατὰ τὸν σταυρὸν

VMX

2 τῶν ἀριθμῶν V 3 τοῦτο X 3/4 ἐλθουσῶν X 6 τῶ χω̄ X 6/7 θεότητος — τῆς om. X ἑτέρα δὲ τῆσ θεότητοσ post ἀνθρωπότητοσ add. X corr. 7 ἄγονται X οἱ om. V 13 ἡμῖν X 16 τούτω M τοῦτο X καὶ om. V 17 πρόσωπα XΛ δύο πρόσωπα VM 21 φύσεις om. X 22 ante πρέποντα add. φύσει X corr. 23 μεριζόμενοσ X 24 αὐτὸσ ὁ X 25 διωρίσθαι X corr. 26 ἂν om. X 27 δὲ om. V 29 τοῦ υἱοῦ τοῦ θῦ X 36 τῆς δόξησ X τῆσ δόξησ δὲ X corr.

Ecce per haec euidenter docet sanctus Gregorius quod in mysterio Christi ille quidem qui in personis numerum dicit, ut impius condemnatur, ille autem qui in naturis ex quibus unus Christus compositus est, numerum accipit, recte confitetur utpote differentiam quidem naturarum quae conuenerunt, per hoc significans, diuisionem autem quae per partem est, nullo modo faciens. sicut enim altera natura est animae et altera corporis et tamen unus secundum compositionem homo efficitur et non duo homines, sic et in Christo licet duae intellegantur naturae, altera quidem deitatis, altera uero humanitatis, sed non propter hoc duo Christi aut duo filii introducuntur. ergo qui numerum naturarum quae in Christo sunt, secundum praedictum modum dicere recusant, manifesti sunt differentiam naturarum abnegantes et confusionem introducentes dispensationi. si uero differentiam confitentur, necesse est omni modo ad eam significandam et numerum dicere naturarum quae sine confusione in unam subsistentiam conuenerunt. ubi enim differentia seruatur, ibi omni modo et numerus sequitur.

Ad confirmanda autem ea quae diximus, sanctorum patrum testimonio utentes ostendemus eos dicentes quod in uno domino nostro Iesu Christo rationes quidem diuiduntur secundum differentiam naturarum deitatis et humanitatis, ex quibus et compositus est, et numerum in hoc adsumunt, non tamen ipsa re et per partes naturarum faciunt diuisionem in duas subsistentias siue personas.

Dicit enim sanctus Cyrillus in Leuitici interpretatione sic: Totum in his iterum circumspice aperte saluatoris nostri mysterium et emundationem quae per sanctum baptisma fit. duas enim auiculas sumi iubet uiuas et mundas, ut intellegas per uolatilia caelestem hominem simul et deum in duas naturas, quantum pertinet ad rationem diuidendum unicuique conuenientem, (deus enim uerbum, qui ex deo patre est, splenduit in carne quae ex muliere est), uerumtamen non partiendum; unus enim ex utrisque Christus.

Et iterum idem sanctus Cyrillus in secunda ad Successum epistula ita dicit: Sed ignorauerunt quod quae per solum intellectum diuidi solent, non haec necessario etiam in alteritatem quae est per partes, omni modo et specialiter a se inuicem separabuntur.

Sed et sanctus Basilius in quarto libro contra Eunomium interpretans hoc quod est dominus creauit me et ante omnes colles genuit me ita scribit: Intellegendum hoc quidem quod dicit genuit, de deo filio, hoc autem quod dicit, creauit de eo qui serui formam accepit. in his autem omnibus non duo dicimus, deum separatim et hominem separatim, unus enim erat, sed secundum intellectum utriusque naturam existimantes.

Sed et sanctus Gregorius theologus in libro secundo de filio docens nos quomodo in domino nostro Iesu Christo oportet naturas quae in eo sunt, secundum intellectum discernere, ita scribit: Cum naturae intellectu distant, simul diuiduntur etiam nomina. Paulum dicentem audi ut deus domini nostri Iesu Christi pater gloriae, Christi quidem deus, gloriae autem pater. nam etsi utrumque unum est, tamen non natura, sed conuentu.

Et sanctus autem Gregorius episcopus Nysae in quarto libro contra Eunomium eadem nos docens ita scribit: Et ne aliquis incorruptibili naturae crucis passionem applicaret, per

---

PD

11/12 naturam *D* 14/15 ostendimus *D* 22/23 diuidendam *P corr.* 25 idem *om. D* 29 omnes — p. 87, 4 unitum est *om. P propter folii defectum*

cf. 1 Tim. 2, 5 πάθος προστρίβοιτο, δι' ἑτέρων τρανότερον τὴν τοιαύτην ἐπανορθοῦται πλάνην μεσίτην αὐτὸν θεοῦ καὶ ἀνθρώπων καὶ ἄνθρωπον καὶ θεὸν αὐτὸν ὀνομάζων, ἵνα ἐκ τοῦ τὰ δύο περὶ τὸ ἓν λέγεσθαι τὸ πρόσφορον νοοῖτο περὶ ἑκάτερον, περὶ μὲν τὸ θεῖον ἡ ἀπάθεια, περὶ δὲ τὸ ἀνθρώπινον ἡ κατὰ τὸ πάθος οἰκονομία. τῆς οὖν ἐπινοίας διαιρούσης τὸ κατὰ φιλανθρωπίαν μὲν ἡνωμένον, τῶι δὲ λόγωι διακρινόμενον, ὅταν μὲν τὸ ὑπερκείμενον καὶ ὑπερέχον πάντα νοῦν κηρύσσηι, τοῖς ὑψηλοτέροις κέχρηται τῶν ὀνομάτων, ἐπὶ πάντων θεὸν καὶ μέγαν θεὸν καὶ δύναμιν θεοῦ καὶ σοφίαν καὶ τὰ τοιαῦτα καλῶν, ὅταν δὲ τὴν ἀναγκαίως διὰ τὸ ἡμέτερον ἀσθενὲς συνπαραληφθεῖσαν τῶν παθημάτων πεῖραν περιγράφηι τῶι λόγωι, ἐκ τοῦ ἡμετέρου κατονομάζει τὸ συναμφότερον ἄνθρωπον αὐτὸν προσαγορεύων, οὐ κοινοποιῶν πρὸς τὴν λοιπὴν φύσιν διὰ τῆς φωνῆς τὸν δηλούμενον, ἀλλ' ὥστε περὶ ἑκάτερον τὸ εὐσεβὲς φυλαχθῆναι.

Τούτων οὕτως ἀποδεδειγμένων διὰ τῆς τῶν πατέρων διδασκαλίας παυσάσθωσαν οἱ τὸν ἀριθμὸν τῶν ἐν Χριστῶι φύσεων πρόφασιν τῆς οἰκείας πλάνης ποιούμενοι καὶ τῶι διὰ τούτου τὴν διαφορὰν ἀρνεῖσθαι σύγχυσιν εἰσάγειν ἐπιχειροῦντες. πῶς γὰρ οὐκ ἀναγκαῖος ὁ ἀριθμός, ὧι ἐπὶ σημασίαι τῆς διαφορᾶς τῶν ἑνωθεισῶν εἰς μίαν ὑπόστασιν φύσεων καὶ οὐκ ἐπὶ τῆι ἀνὰ μέρος διαιρέσει αὐτῶν οἱ πατέρες ἐχρήσαντο; ἀποδεδειγμένου τοίνυν πανταχόθεν ὡς ἀσεβές ἐστιν τὸ λέγειν μίαν φύσιν ἤτοι οὐσίαν θεότητος καὶ σαρκὸς τοῦ Χριστοῦ, κἀκεῖνο ἐροῦμεν ὡς οὐδὲ καθ' ὃ μίαν ὑπόστασιν λέγομεν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, οὕτω δυνατὸν
L V 700 καὶ μίαν φύσιν λέγειν Χριστοῦ, ἐπειδὴ μὴ ταυτὸν φύσις τε καὶ ὑπόστασις. πάντες γὰρ οἱ ἅγιοι πατέρες συμφώνως ἡμᾶς διδάσκουσιν ἄλλο εἶναι φύσιν ἤτοι οὐσίαν καὶ μορφήν, καὶ ἄλλο ὑπόστασιν ἤτοι πρόσωπον, καὶ τὴν μὲν φύσιν ἤτοι οὐσίαν καὶ μορφὴν τὸ κοινὸν σημαίνειν, τὴν δὲ ὑπόστασιν ἤτοι πρόσωπον τὸ ἰδικόν. εἰ δὲ φήσωσί τινες ὅτι ὥσπερ μία ὑπόστασις σύνθετος εἴρηται ἐπὶ Χριστοῦ, οὕτω δεῖ καὶ μίαν φύσιν σύνθετον λέγειν, ἀποδείξομεν καὶ τοῦτο ἀλλότριον εἶναι τῆς εὐσεβείας. μίαν γὰρ φύσιν ἤτοι οὐσίαν θεότητος λέγοντες τρεῖς ἐπ' αὐτῆς δοξάζομεν ὑποστάσεις ἐν ἑκάστηι ὑποστάσει τὴν αὐτὴν φύσιν ἤτοι οὐσίαν γνωρίζοντες καὶ εὐσεβῶς ἐκ τῶν τριῶν ὑποστάσεων μίαν ὑπόστασιν τὴν τοῦ λόγου πρὸς τὴν σάρκα συντεθεῖσθαι φαμέν. οὐδεὶς γάρ ποτε ἐτόλμησεν ἐν τῆι καθολικῆι ἐκκλησίαι εἰπεῖν ὅτι ὥσπερ τρεῖς ὑποστάσεις, οὕτω καὶ τρεῖς φύσεις εἰσὶ τῆς ἁγίας τριάδος, ὥστε καὶ δύνασθαι λέγειν μίαν φύσιν ἐκ τῶν τριῶν φύσεων συντεθεῖσθαι πρὸς σάρκα· τρεῖς γὰρ φύσεις ἐπὶ τῆς ἁγίας τριάδος μόνος Ἄρειος τολμήσας εἰπεῖν ὡς βλάσφημος κατεκρίθη. διὰ τοῦτο τοίνυν κατὰ τὸν ὀρθὸν λόγον δύο φύσεων ἕνωσιν λέγομεν καὶ μίαν ὑπόστασιν, ἐπειδὴ ὁ τοῦ θεοῦ υἱὸς κατὰ τὴν ὑπόστασιν
PG 1011 ἕτερος ὢν παρὰ τὸν πατέρα, τῆς αὐτῆς δὲ φύσεως ὢν τῶι πατρὶ ἐν τῆι ἰδίαι ὑποστάσει ἐδημιούργησεν ἑαυτῶι σάρκα ἐψυχωμένην ψυχῆι λογικῆι καὶ νοερᾶι, ὅπερ δηλοῖ ἀνθρωπίνηι φύσει ἑνωθῆναι τὸν τοῦ θεοῦ λόγον καὶ οὐχ ὑποστάσει ἤτοι προσώπωι τοῦδέ τινος. ἔστι τοίνυν ὁ τοῦ θεοῦ λόγος καὶ σαρκωθεὶς μία ὑπόστασις ἐν ἑκατέραι φύσει γνωριζόμενος, ἔν τε τῆι θείαι, ἐν ἧι
Phil. 2, 6. 7 ὑπῆρχε κατὰ τὸ ὃς ἐν μορφῆι θεοῦ ὑπάρχων καὶ ἐν τῆι ἀνθρωπίνηι κατὰ τὸ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. καὶ διὰ τοῦτο εὐσεβῶς εἴποι τις ἂν μίαν ὑπόστασιν τοῦ θεοῦ

VMX

1 τρανότερον M τρανοτέρων X τὸ ἀνώτερον V 2 ἄνθρωπον καὶ om. X 4 διαιρουμένης V 5 περιέχων X 6 κηρύσσει VX μέγα MX 8 περιγράφει VMX 10 τῶν δηλουμένων in τὸ δηλούμενον corr. X 12 τούτου in τοῦ corr. X 13 ὁ om. V 16 τῆς σαρκὸς V 21 φήσουσί X 22 ἀποδείξωμεν VM 23 θεότητος ἤτοι οὐσίαν V 24 δοξάζωμεν V 29 εἰπεῖν MX εἰπὼν V 32 ἐψυχομένη M ἀνίνην φύσιν X 33 τὸν] τῆ X λόγου X λόγου φύσει X corr. ὑπόστασιν — πρόσωπον X 35 ὧς VX 36 τοῦτο VX τοῦ M

alia manifestius talem emendat errorem, mediatorem ipsum dei et hominum et hominem et deum ipsum nominans, ut cum duo de uno dicantur, congruum intellegatur circa utrumque, circa deitatem quidem impassibilitas, circa humanitatem autem dispensatio passionis. intellectu igitur diuidente hoc quod per misericordiam quidem unitum est, ratione autem discernitur, cum hoc quidem quod superpositum est et supereminens omnem sensum, praedicat, altioribus utitur nominibus, super omnia deum et magnum deum et uirtutem dei et sapientiam et talia uocans; cum autem passionum experimentum necessario propter nostram infirmitatem acceptum uerbis significat, ex nostro nominans utrumque hominem ipsum appellat, non communificans per uocem ad ceteram naturam eum qui significatur, sed ut circa utrumque pietas conseruaretur.

His ita demonstratis per sanctorum patrum doctrinam cessent qui numerum naturarum quae in Christo sunt, occasionem sui erroris faciunt et earum differentiam numeri recusatione negando confusionem introducere conantur. quomodo enim non est necessarius numerus quo ad significandam differentiam naturarum quae in unam subsistentiam unitae sunt et non ad diuisionem per partes earum usi sunt patres? demonstrato igitur undique quod impium est dicere unam naturam siue substantiam deitatis et carnis Christi, et illud dicemus quia nec secundum quod unam subsistentiam dicimus deitatis et humanitatis Christi, sic possibile est et unam naturam Christi dicere, quoniam non idem est natura et subsistentia. omnes enim sancti patres consonanter nos docent aliud esse naturam siue substantiam et formam, et aliud subsistentiam siue personam, et naturam quidem uel substantiam et formam hoc quod est commune, significare, subsistentiam autem siue personam hoc quod est speciale. sin uero dixerint quidam quod sicut una subsistentia composita dicitur Christi, sic oportet et unam naturam compositam dicere, ostendemus et hoc alienum esse pietatis. unam enim naturam siue substantiam deitatis dicentes tres ipsius confitemur subsistentias in unaquaque subsistentia eandem naturam siue substantiam cognoscentes et recte ex tribus subsistentiis unam subsistentiam uerbi ad carnem compositam esse dicimus. nemo enim umquam ausus est in catholica ecclesia dicere quod sicut tres subsistentiae, sic et tres naturae sunt sanctae trinitatis, ut possibile sit dicere unam naturam ex tribus naturis compositam esse ad carnem. tres enim naturas in sancta trinitate solus Arrius ausus dicere tamquam blasphemus condemnatus est. ideo igitur secundum rectam rationem duarum naturarum dicimus unitatem et unam subsistentiam, quoniam dei filius cum est secundum subsistentiam alter praeter patrem, eandem autem naturam habet patris, in sua subsistentia plasmauit sibi carnem animatam anima rationabili et intellectuali, quod significat humanae naturae unitum esse deum uerbum et non subsistentiae seu personae cuiusdam. est igitur deus uerbum et incarnatus una subsistentia in utraque natura cognoscendus, in diuina, in qua erat prout dictum est qui cum in forma dei esset, et in humana secundum hoc quod est in similitudine hominis factus. et ideo recte dicat aliquis unam subsistentiam dei uerbi compositam

---

PD

8 nostra *P* 9 communicans *P* 22 quidam hi *D* 32 est *D* esset *P* 34 quod — p. 89, 10 ore *om. P propter folii defectum*

λόγου σύνθετον ἥπερ μίαν φύσιν σύνθετον, ἐπειδὴ ὅτε καθ' ἑαυτὴν ἁπλῶς φύσις λέγεται μὴ προσκειμένου ταύτῃ ἰδικοῦ τινος προσώπου, ἀόριστόν τι καὶ ἀνυπόστατον δηλοῖ, τὸ δὲ ἀόριστον πρὸς οὐδὲν συντεθῆναι δύναται. εἰ δέ τις καὶ μετὰ τοὺς τοιούτους λόγους πρὸς φιλονικίαν μόνην ὁρῶν ἀντιθεῖναι ἐπιχειρήσοι λέγων ὅτι κατὰ τὸν ἀποδοθέντα τῆς φύσεως λόγον χρὴ καὶ τὴν ἀνθρωπίνην φύσιν τοῦ Χριστοῦ ἰδίαν ὑπόστασιν ἤτοι πρόσωπον ἴδιον ἔχειν, πρόδηλός ἐστιν ὁ τοιοῦτος ὅτι προυποστάντι ἀνθρώπωι ἑνωθῆναι λέγει τὸν λόγον καὶ σχετικὴν γεγενῆσθαι τὴν ἕνωσιν. δύο γὰρ ὑποστάσεων ἤτοι προσώπων καθ' ὑπόστασιν ἕνωσιν γενέσθαι ἀδύνατον. ὥστε ὁ ταῦτα λέγων τὸ δυνατὸν τοῦ θεοῦ λόγοις ἀνθρωπίνης σοφίας κενῶσαι σπουδάζων ἀγνοεῖ
Rom. 10, 10 τὸ μέγα τῆς εὐσεβείας μυστήριον, ὅπερ καρδίαι μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. οὔτε γὰρ ἡ ἀνθρωπίνη φύσις τοῦ Χριστοῦ ἁπλῶς ποτε λέγεται, ἀλλ' οὔτε ἰδίαν ὑπόστασιν ἤτοι πρόσωπον ἔσχεν, ἀλλ' ἐν τῇι ὑποστάσει τοῦ λόγου τὴν ἀρχὴν τῆς ὑπάρξεως ἔλαβεν. ὅθεν αὐτὸν τὸν θεὸν λόγον ἀτρέπτως ἄνθρωπον γεγενῆσθαι ὁμολογοῦμεν καὶ οὐκ εἰς ἄνθρωπόν τινα αὐτὸν ἐληλυθέναι καὶ τοῦ αὐτοῦ θεοῦ λόγου σαρκωθέντος τὴν ἐκ παρθένου γέννησιν εἶναι καὶ διὰ τοῦτο θεοτόκον εἶναι τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν. διὰ τοῦτο καὶ πρὸ τῆς σαρκώσεως τοῦ θεοῦ λόγου καὶ μετὰ τὴν αὐτοῦ σάρ-
L V 701 κωσιν τρεῖς ὑποστάσεις λέγομεν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, τῆς ἁγίας τριάδος τετάρτης ὑποστάσεως ἤτοι προσώπου προσθήκην μὴ ἐπιδεξαμένης. ἐκ τούτων τοίνυν ἁπάντων διελέγχονται οἱ λέγοντες πρὸ τῆς ἑνώσεως δύο φύσεις ὡς προυποστάντα λέγουσι τὸν ἄνθρωπον καὶ οὕτως ἑνωθῆναι τῶι θεῶι λόγωι κατὰ τὴν μανίαν Θεοδώρου καὶ Νεστορίου τῶν ἀσεβῶν· οἱ δὲ λέγοντες μὴ χρῆναι λέγειν μετὰ τὴν ἕνωσιν δύο φύσεις ἐπὶ Χριστοῦ, ἀλλὰ μίαν, σύγχυσιν καὶ φαντασίαν εἰσάγουσι κατὰ Ἀπολινάριον καὶ Εὐτυχέα τοὺς ἀσεβεῖς. ἀλλ' οὗτοι μὲν ταῦτα· οἱ δὲ ἅγιοι πατέρες μετὰ τὴν τοῦ λόγου ἐνανθρώπησιν θεωρήσαντες τὰ ἐξ ὧν ὁ Χριστός, καὶ ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ὀρθότατα δύο τὰς φύσεις, τήν τε θείαν καὶ ἀνθρωπίνην, ἐν τῶι Χριστῶι εἶναι εἰρήκασιν. οὔτε γὰρ πρὸ τῆς ἐνανθρωπήσεως δύο φύσεις ἦσαν τοῦ κυρίου οὐδὲ μετὰ τὴν ἐνανθρώπησιν αἱ δύο μία γεγόνασιν, εἰ καὶ ἐν μιᾶι ὑποστάσει γνωρίζονται.

Ταῦτα δὲ καὶ ἐκ τῶν θείων γραφῶν καὶ ἐκ τῆς τῶν πατέρων διδασκαλίας διδαχθέντες πρὸς
PG 1013 ἀνατροπὴν τῶν συγχεόντων καὶ τεμνόντων τὸ τῆς θείας οἰκονομίας μυστήριον εἰκότως ἐγράψαμεν καὶ οὐ τῶι σαφηνίζειν τὰ ἐξ ὧν ἐστι καὶ ἐν οἷς γνωρίζεται ὁ Χριστός, σύγχυσιν ἢ διαίρεσιν τῆι θείαι οἰκονομίαι εἰσάγομεν. ἀμέλει δοξολογίαν καὶ τὸν τῆς ἑνώσεως λόγον προφέροντες ἕνα Χριστὸν καὶ υἱὸν καὶ κύριον τὸν τοῦ θεοῦ λόγον σεσαρκωμένον καὶ ἐνανθρωπήσαντα ὁμολογοῦμέν τε καὶ προσκυνοῦμεν σὺν τῶι πατρὶ καὶ τῶι ἁγίωι πνεύματι. τούτων οὕτως ὑπὸ τῆς τοῦ θεοῦ καθολικῆς ἐκκλησίας ὁμολογουμένων γινώσκειν βουλόμεθα πάντας τοὺς Χριστιανοὺς ὅτι ὥσπερ ἕνα θεὸν καὶ κύριον ἔχομεν, οὕτω καὶ μίαν πίστιν. εἷς γάρ ἐστιν ὅρος πίστεως τὸ ὁμολογεῖν καὶ ὀρθῶς δοξάζειν πατέρα καὶ Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ ἅγιον πνεῦμα. ταύτην τὴν ὁμολογίαν φυλάττομεν, εἰς ἣν καὶ ἐβαπτίσθημεν, δωρηθεῖσαν μὲν παρὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, παρ' αὐτῶν δὲ κηρυχθεῖσαν ἐν ὅλωι τῶι κόσμωι. οἱ δὲ τι καὶ ρ ἅγιοι πατέρες οἱ συναχθέντες ἐν

VMX

1 εἴπερ VM 2 τι om. X 3 φιλονεικίαν V 7 καθ' ὑπόστασιν om. X 8 ἀνθρωπίνοις V 13 τοῦ αὐτοῦ] αὐτοῦ τοῦ X 16 λέγωμεν M 18 πάντων V οἱ om. V 19 τὸν θν̄ λόγον αὐτῶ X 21 σύγχυσιν MXΛ φύσιν V εἰσάγουσι XΛ εἰσάγοντες VM 23 δύο τὰσ MX τὰς δύο V 29 οὕτω σαφηνίζει V οὕτο σαφηνίζειν M οὕτω σαφηνίζειν [in σαφηνίζοντεσ corr.] X 30 οὐκ εἰσάγομεν X 34 ἔχωμεν VM 35 ὀρθῶς om. X τὸν πρᾱ X 36 ἐβαπτίσμεθα X 38 οἱ² om. MX

quam unam naturam compositam, quoniam cum per se absolute natura dicitur non adiecta ei speciali cuiusdam persona, infinitum et non subsistens aliquid significat, infinitum autem ad nihil potest componi. sin autem aliquis et post tales rationes ad contentionem solam respiciens opponere conetur dicens quod secundum redditam naturae rationem oportet et humanam naturam Christi suam subsistentiam seu personam propriam habere, manifestus est talis quod ante subsistenti homini unitum esse dicit deum uerbum et affectualem factam esse unitatem. duae enim subsistentiae seu personae secundum subsistentiam uniri non possunt. qui igitur haec dicit dei potentiam uerbis humanae sapientiae euacuare festinans, ignorat magnum pietatis mysterium, quod corde quidem creditur ad iustitiam, ore autem confessio fit in salutem. neque enim humana Christi natura per se absolute umquam dicitur, sed nec suam subsistentiam seu personam habuit, sed in subsistentia dei uerbi natura humana initium ut esset, habuit unde ipsum deum uerbum immutabiliter hominem factum esse confitemur et non in hominem quendam uenisse et eiusdem dei uerbi incarnati esse natiuitatem ex uirgine et propter hoc dei genetricem sanctam gloriosam semper uirginem Mariam esse. ideo et ante incarnationem dei uerbi et post eius incarnationem tres subsistentias dicimus patris et filii et sancti spiritus. non enim sancta trinitas quartae subsistentiae uel personae adiectionem suscepit. ex his igitur omnibus conuincuntur qui dicunt ante unitionem duas naturas esse, quod ante plasmatum dicunt hominem et sic unitum esse deo uerbo secundum insaniam Theodori et Nestorii impiorum. qui autem dicunt quod non oportet post unitatem duas naturas in Christo, sed unam dicere, confusionem et phantasiam introducunt secundum Apolinarium et Eutychen impios. sed isti quidem haec; sancti uero patres post dei uerbi incarnationem considerantes ea ex quibus Christus est, et quod inconfusae manserunt naturae, rectissime duas naturas, diuinam et humanam, in Christo esse dixerunt. nec enim ante incarnationem duae naturae erant domini nec post incarnationem duae naturae una factae sunt, licet in una subsistentia cognoscantur.

Haec autem et ex diuinis scripturis et patrum doctrina edocti ad refutandos eos qui confundunt et diuidunt diuinae dispensationis mysterium, merito scripsimus et non eo quod declaramus ea ex quibus est et in quibus cognoscitur Christus, confusionem uel diuisionem diuinae dispensationi facimus. itaque glorificationem et unitionis rationem proferentes unum Christum et filium et dominum uerbum dei incarnatum et hominem factum confitemur et adoramus cum patre et sancto spiritu. haec ita cum uniuersalis dei ecclesia confitetur, scire uolumus omnes Christianos quod sicut unum deum et dominum habemus, ita et unam fidem. una enim definitio fidei est confiteri et recte glorificare patrem et Christum filium dei et sanctum spiritum. istam confessionem conseruamus, in qua et baptizati sumus, donatam quidem a magno deo et saluatore nostro Iesu Christo sanctis suis discipulis et apostolis, ab eis autem praedicatam in toto mundo. trecenti autem

---

P [*inde ab* 10 ore], *D*

22 apolonarium *P* ista *P* 27 doctrinae [*in* doctrina *corr. P*] docti *PD* 31 dn̄m *P* dm̄ *D* hominum *D* 32 universali *P* 33 confitentes *P*

Νικαίαι κατὰ Ἀρείου καὶ τοῦτον μετὰ τῆς αὐτοῦ ἀσεβείας καταδικάσαντες τὴν αὐτὴν ὁμολογίαν ἤτοι σύμβολον καὶ μάθημα τῆς πίστεως παραδεδώκασι τῇι ἁγίαι τοῦ θεοῦ ἐκκλησίαι καὶ μετ' ἐκείνους οἱ ρν̄ ἅγιοι πατέρες οἱ συναχθέντες ἐν Κωνσταντινουπόλει κατὰ Μακεδονίου τοῦ πνευματομάχου καὶ κατὰ Μάγνου τοῦ Ἀπολιναριστοῦ καὶ τούτους καταδικάσαντες μετὰ τῆς αὐτῶν ἀσεβείας ἀκολουθήσαντές τε κατὰ πάντα τῶι αὐτῶι ἁγίωι συμβόλωι τῶι παρὰ τῶν τιη̄ ἁγίων πατέρων παραδοθέντι ἐτράνωσαν τὰ περὶ τῆς θεότητος τοῦ ἁγίου πνεύματος. ἔτι δὲ καὶ οἱ ἐν Ἐφέσωι συναχθέντες τὸ πρότερον ἅγιοι πατέρες κατὰ Νεστορίου τοῦ δυσσεβοῦς καὶ οἱ ἐν Χαλκηδόνι ἅγιοι πατέρες κατὰ Εὐτυχοῦς τοῦ δυσσεβοῦς ἀκολουθήσαντες κατὰ πάντα τῶι εἰρημένωι ἁγίωι συμβόλωι ἤτοι μαθήματι τῆς πίστεως κατεδίκασαν τοὺς προειρημένους αἱρετικοὺς μετὰ τῆς αὐτῶν ἀσεβείας καὶ τῶν τὰ ὅμοια αὐτοῖς φρονησάντων ἢ φρονούντων. καὶ πρὸς τούτοις ἀνεθεμάτισαν τοὺς ἕτερον ὅρον πίστεως ἤτοι σύμβολον καὶ μάθημα παραδιδόντας τοῖς προσιοῦσι τῶι ἁγίωι βαπτίσματι ἢ ἐξ οἱασδήποτε αἱρέσεως ἐπιστρέφουσι παρὰ τὸ παραδοθέν, ὡς εἴρηται, L V 704 ὑπὸ τῶν τῑ καὶ η̄ ἁγίων πατέρων καὶ τρανωθὲν ὑπὸ τῶν ρν̄ ἁγίων πατέρων. τούτων οὕτως ἐχόντων συνείδομεν καὶ κεφάλαια ὑποτάξαι τήν τε τῆς ὀρθῆς πίστεως ὁμολογίαν ἐν συντόμωι τήν τε τῶν αἱρετικῶν κατάκρισιν περιέχοντα.

Ā Εἴ τις οὐχ ὁμολογεῖ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον, μίαν θεότητα ἢ γοῦν φύσιν καὶ οὐσίαν μίαν τε δύναμιν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν ἢ γοῦν προσώποις προσκυνουμένην, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

B Εἴ τις οὐχ ὁμολογεῖ τὸν πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ πατρὸς γεννηθέντα θεὸν λόγον ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἄνθρωπον γενόμενον γεννηθῆναι ἐξ αὐτῆς καὶ διὰ τοῦτο τοῦ αὐτοῦ θεοῦ λόγου εἶναι τὰς δύο γεννήσεις, τήν τε πρὸ αἰώνων ἀσωμάτως καὶ τὴν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατὰ σάρκα, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

PG 1015 Γ Εἴ τις λέγει ἄλλον εἶναι τὸν θεὸν λόγον τὸν θαυματουργήσαντα καὶ ἄλλον τὸν Χριστὸν τὸν παθόντα ἢ τὸν θεὸν λόγον συνεῖναι λέγει τῶι Χριστῶι γενομένωι ἐκ γυναικὸς ἢ ἐν αὐτῶι εἶναι ὡς ἄλλον ἐν ἄλλωι, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη ἅπερ ἑκουσίως ὑπέμεινεν σαρκί, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Δ Εἴ τις λέγει κατὰ χάριν ἢ κατ' ἐνέργειαν ἢ κατ' ἀξίαν ἢ κατ' ἰσοτιμίαν ἢ κατ' αὐθεντίαν ἢ ἀναφορὰν ἢ σχέσιν ἢ δύναμιν τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς ἄνθρωπον γεγενῆσθαι ἢ καθ' ὁμωνυμίαν, καθ' ἣν οἱ Νεστοριανοὶ καὶ τὸν θεὸν λόγον Χριστὸν καλοῦντες καὶ τὸν ἄνθρωπον κεχωρισμένως Χριστὸν ὀνομάζοντες κατὰ μόνην τὴν προσηγορίαν ἕνα Χριστὸν λέγουσιν, ἢ εἴ τις λέγει κατ' εὐδοκίαν τὴν ἕνωσιν γεγενῆσθαι, καθὼς Θεόδωρος ὁ αἱρετικὸς αὐταῖς λέξεσι λέγει, ὡς ἀρεσθέντος τοῦ θεοῦ λόγου τῶι ἀνθρώπωι ἀπὸ τοῦ εὖ καὶ καλὰ δόξαι αὐτῶι περὶ αὐτοῦ, ἀλλ' οὐχὶ καθ' ὑπόστασιν τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα ἐψυχωμένην ψυχῆι λογικῆι καὶ νοερᾶι τὴν ἕνωσιν ὁμολογεῖ καὶ διὰ τοῦτο μίαν αὐτοῦ τὴν ὑπόστασιν σύνθετον, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

VMX

4 κατὰ om. V 5 ἀκολουθοῦντεσ V αὐτῶι om. X 6 ἐτράνωσαν τὰ] τρανώσαντεσ X παρὰ V 7 καλχηδόνι M ut solet 12 τὸν παραδοθέντα V 13 τιη̄ X τρανωθέντα V corr. 14 συνείδαμεν V ἐν συντόμωι] σύντομον X 15 παράκρισιν V κρίσιν V corr. 16 etc. numeri ex MX 16. 19 οὐκ' VMX 18 γνωριζομένην X 20 κατελθόντα — καὶ om. V ἐνδόξου om. VX 21 γεννηθέντα V 24 εἶναι om. X 25 γεννομένω MX 32 λέγουσιν MX λέγοντες V 33 ἐρεσθέντοσ X 34 τοῦ ἀνθρώπου V κατ' V 35 ἐνψυχομένην X

decem et octo sancti patres collecti in Nicaea aduersus Arrium illo cum sua impietate condemnato eandem confessionem, id est sanctum mathema et symbolum fidei tradiderunt sanctae dei ecclesiae et post illos centum quinquaginta sancti patres Constantinopoli collecti aduersus Macedonium sancto spiritui repugnantem et Magnum Apolinaristam illis condemnatis cum sua perfidia secuti per omnia idem sanctum symbolum traditum a trecentis decem et octo sanctis patribus explanauerunt de deitate sancti spiritus. insuper autem et qui in Epheso prius collecti sunt sancti patres aduersus Nestorium impium, et qui in Calchedone conuenerunt sancti patres aduersus Eutychen impium, secuti per omnia praedictum sanctum symbolum siue mathema fidei condemnauerunt praedictos haereticos una cum eorum impietate et his qui similia illis sapuerunt uel sapiunt, et super haec anathematizauerunt eos qui aliam definitionem fidei siue symbolum siue mathema tradunt accedentibus ad sanctum baptisma uel ex quacumque haeresi conuersis praeter traditum, sicut dictum est, a trecentis decem et octo sanctis patribus et explanatum a centum quinquaginta sanctis patribus. his ita se habentibus perspeximus et capitula subponere, in quibus tam rectae fidei compendiose confessio quam haereticorum condemnatio continetur.

I Si quis non confitetur patrem et filium et spiritum sanctum, trinitatem consubstantialem, unam deitatem seu naturam et substantiam et unam uirtutem et potestatem in tribus subsistentiis seu personis adorandam, talis anathema sit.

II Si quis non confitetur eum qui ante saecula et sine tempore ex patre natus est, deum uerbum in ultimis diebus descendisse de caelis et incarnatum esse de sancta gloriosa dei genetrice et semper uirgine Maria et hominem factum natum esse ex ipsa et propter hoc eiusdem dei uerbi duas esse natiuitates, quae est ante saecula incorporaliter et quae est in ultimis diebus secundum carnem, talis anathema sit.

III Si quis dicit alium esse deum uerbum qui miracula operatus est, et alium Christum qui passus est, aut deum uerbum cum Christo esse nascente ex muliere dicit uel in ipso esse tamquam alterum in altero, sed non unum eundemque dominum nostrum Iesum Christum deum uerbum incarnatum et hominem factum et eiusdem ipsius miracula et passiones quas carne sponte sustinuit, talis anathema sit.

IIII Si quis dicit secundum gratiam uel secundum operationem uel secundum dignitatem honoris uel secundum auctoritatem nel relationem uel affectum uel uirtutem unitionem dei uerbi ad hominem factam esse uel secundum omonymiam per quam Nestoriani et deum uerbum uocantes Christum et hominem separatim Christum nominantes solo uocabulo unum Christum dicunt, aut si quis per bonam uoluntatem dicit unitionem factam esse, sicut Theodorus haereticus ipsis uerbis dicit, quasi quod placuit deo uerbo homo eo quod bene uisum est ei de ipso, sed non secundum subsistentiam dei uerbi ad carnem animatam anima rationabili et intellectuali unitionem confitetur et ideo unam eius subsistentiam compositam esse, talis anathema sit.

PD

3 dei *om. D* 7 *post* et[1] *superscr.* CCLX *P* 13 et[2] *om. D* 15 compendiosa *P* 16. 19 etc. *numeri ex P* 20 incarnatus *D* 22 et duas *D* 23 tales *D* 25 nascenti *D* 32 uocante *D*

Ε Εἴ τις κατὰ ἀναφορὰν ἢ καταχρηστικῶς θεοτόκον λέγει τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον Μαρίαν ἢ ἀνθρωποτόκον ἢ Χριστοτόκον ὡς τοῦ Χριστοῦ μὴ ὄντος θεοῦ, ἀλλὰ μὴ κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκον αὐτὴν ὁμολογεῖ διὰ τὸ τὸν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς γεννηθέντα θεὸν λόγον ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐξ αὐτῆς σαρκωθῆναι καὶ γεννηθῆναι, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Ϛ Εἴ τις οὐχ ὁμολογεῖ τὸν ἐσταυρωμένον σαρκὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν θεὸν εἶναι ἀληθινὸν καὶ κύριον τῆς δόξης καὶ ἕνα τῆς ἁγίας τριάδος, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Ζ Εἴ τις ἐν δυσὶ φύσεσι λέγων μὴ ὡς ἐν θεότητι καὶ ἐν ἀνθρωπότητι τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα ὁμολογεῖ μηδὲ ἐπὶ τῷι σημᾶναι τὴν διαφορὰν τῶν φύσεων, ἐξ ὧν καὶ συνετέθη, ἀλλ' ἐπὶ διαιρέσει τῆι ἀνὰ μέρος τὴν τοιαύτην λαμβάνει φωνὴν ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου, ὡς κεχωρισμένας καὶ ἰδιουποστάτους εἶναι τὰς φύσεις, καθὼς Θεόδωρος καὶ Νεστόριος βλασφημοῦσιν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Η Εἴ τις ἐπὶ τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστιν τοῦ σαρκωθέντος θεοῦ λόγου
L V 705 τὸν ἀριθμὸν τῶν φύσεων ὁμολογῶν μὴ τῆι θεωρίαι τὴν διαφορὰν τούτων ἐξ ὧν καὶ συνετέθη, λαμβάνει ὡς ταύτης οὐκ ἀνηιρημένης διὰ τὴν ἕνωσιν, ἀλλ' ἐπὶ διαιρέσει τῆι ἀνὰ μέρος τῶι ἀριθμῶι κέχρηται, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Θ Εἴ τις λέγων μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην οὐχ οὕτως αὐτὸ ἐκλαμβάνει ὡς ὅτι ἐκ τῆς θείας φύσεως καὶ τῆς ἀνθρωπίνης εἰς Χριστὸς ἀπετελέσθη ὁμοούσιος τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα, ἀλλ' ὅτι τῆς θεότητος καὶ τῆς σαρκὸς τοῦ Χριστοῦ μία φύσις ἤτοι οὐσία ἀπετελέσθη κατὰ τὴν Ἀπολιναρίου καὶ Εὐτυχοῦς
PG 1017 κακοπιστίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. ἐφίσης γὰρ καὶ τοὺς ἀνὰ μέρος διαιροῦντας ἤτοι τέμνοντας καὶ τοὺς συγχέοντας τὸ τῆς θείας οἰκονομίας μυστήριον τοῦ Χριστοῦ ἀποστρέφεται καὶ ἀναθεματίζει ἡ καθολικὴ ἐκκλησία.

Ι Εἴ τις μὴ ἀναθεματίζει Ἄρειον Εὐνόμιον Μακεδόνιον Ἀπολινάριον Νεστόριον Εὐτυχέα καὶ τοὺς τὰ ὅμοια τούτοις φρονήσαντας ἢ φρονοῦντας, ἀνάθεμα ἔστω.

ΙΑ Εἴ τις ἀντιποιεῖται Θεοδώρου τοῦ Μοψουεστίας τοῦ εἰπόντος ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστὸν ὑπὸ παθῶν ψυχῆς καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον καὶ ἐκ προκοπῆς ἔργων βελτιωθέντα καὶ βαπτισθέντα εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος καὶ διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος λαβεῖν καὶ υἱοθεσίας ἀξιωθῆναι καὶ κατ' ἰσότητα βασιλικῆς εἰκόνος εἰς πρόσωπον τοῦ θεοῦ λόγου προσκυνούμενον καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις καὶ ἀναμάρτητον παντελῶς γενόμενον, καὶ πάλιν εἰρηκότος τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὸν Χριστὸν τοιαύτην γεγενῆσθαι οἵαν εἶπεν ὁ ἀπόστολος ἐπὶ
Eph. 5, 31 ἀνδρὸς καὶ γυναικὸς ἔσονται οἱ δύο εἰς σάρκα μίαν καὶ πρὸς ταῖς ἄλλαις ἀναριθμήτοις

---

30 sq. cf. Conc. L V 442. 441. M VIIII 211. 210

VMX

3 τὸ om. M δὲ X 6 οὐκ' VMX 10 τοιαύτη M 18 εἰσ χν X κατὰ] καὶ X 19 καὶ[1] om. MX 21 post ἔστω ῑ X ἔστω MΛ αὐτῷ V 23 καθολικὴ VΛ καθολικὴ τοῦ θῦ MXΛ 24 ΙΑ X 25 φρονοῦντασ ἢ φρονήσαντασ V φρονήσαντασ X 26 ΙΒ X μομψουεστίασ MX 30 καθισότητα MX 31 ἄτρεπτον ταῖς] ἀτρεπταῖσ X 33 πρὸ X

V Si quis per relationem aut abusiue dei genetricem dicit sanctam gloriosam semper uirginem Mariam aut hominis genetricem aut Christotocon tamquam Christo deo non existente, sed non proprie et uere dei genetricem ipsam confitetur eo quod ipse qui ante saecula ex patre natus est deus uerbum, in ultimis diebus ex ipsa incarnatus et natus est, talis anathema sit.

VI Si quis non confitetur dominum nostrum Iesum Christum, qui carne crucifixus est, deum esse uerum et dominum gloriae et unum de sancta trinitate, talis anathema sit.

VII Si quis in duabus naturis dicens non tamquam in deitate et humanitate unum dominum nostrum Iesum Christum deum uerbum incarnatum confitetur nec ad significandam differentiam naturarum ex quibus compositus est, sed pro diuisione per partem talem excipit uocem in mysterio Christi, quasi separatim unaquaque natura suam habente subsistentiam, sicut Theodorus et Nestorius blasphemauerunt, talis anathema sit.

VIII Si quis in uno domino Iesu Christo, hoc est deo uerbo incarnato, numerum confitens naturarum non intellectu differentiam earum ex quibus et compositus est, excipit utpote non interemptam propter unitatem, sed pro diuisione per partem numero utitur, talis anathema sit.

VIIII Si quis dicens unam naturam dei uerbi incarnatam non sic hoc intellegit quod ex diuina natura et humana unus Christus effectus est consubstantialis patri secundum deitatem et consubstantialis nobis idem ipse secundum humanitatem, sed quod deitatis et carnis Christi una natura siue substantia effecta est secundum Apolinarii et Eutychetis perfidiam, talis anathema sit. aequaliter enim et eos qui per partem diuidunt uel incidunt, et eos qui confundunt diuinae dispensationis mysterium Christi, reicit et condemnat uniuersalis ecclesia.

X Si quis non anathematizat Arrium Eunomium Macedonium Apolinarium Nestorium et Eutychen et eos qui similia eis sapuerunt uel sapiunt, anathema sit.

XI Si quis defendit Theodorum Mopsuestenum, qui dixit alium esse deum uerbum et alium Christum a passionibus animae et desideriis carnis molestias patientem et ex profectu operum melioratum et baptizatum in nomine patris et filii et sancti spiritus et per baptisma gratiam sancti spiritus accepisse et adfiliationem meruisse et ad similitudinem imperialis imaginis in personam dei uerbi adorari et post resurrectionem immutabilem cogitationibus et impeccabilem omnino factum fuisse, et iterum dixit talem factam esse unitionem dei uerbi ad Christum qualem dixit apostolus de uiro et muliere erunt duo in carne una et super alias suas innumerabiles blasphemias ausus est dicere quod post resurrectionem cum

---

PD

2 $\overline{\text{xpocon}}$ *D* 8 $\overline{\text{dnm}}$ *P* $\overline{\text{dm}}$ *D* 10 talem *om. P* 22 uniuersalis dei *P* 26 Mopsuestenum *om. in ras. P*

αὐτοῦ βλασφημίαις τολμήσαντος εἰπεῖν ὅτι μετὰ τὴν ἀνάστασιν ἐμφυσήσας ὁ κύριος τοῖς μαθη-
Ioh. 20, 22 ταῖς καὶ εἰπὼν λάβετε πνεῦμα ἅγιον οὐ δέδωκεν αὐτοῖς πνεῦμα ἅγιον, ἀλλὰ σχήματι μόνον
ἐνεφύσησεν· οὗτος δὲ καὶ τὴν ὁμολογίαν Θωμᾶ τὴν ἐπὶ τῇι ψηλαφήσει τῶν χειρῶν καὶ τῆς πλευ-
Ioh. 20, 28 ρᾶς τοῦ κυρίου μετὰ τὴν ἀνάστασιν τὸ ὁ κύριός μου καὶ ὁ θεός μου εἶπεν μὴ εἰρῆσθαι
περὶ τοῦ Χριστοῦ παρὰ τοῦ Θωμᾶ (μηδὲ γὰρ εἶναι λέγει τὸν Χριστὸν θεόν), ἀλλ' ἐπὶ τῶι παρα-
δόξωι τῆς ἀναστάσεως ἐκπλαγέντα τὸν Θωμᾶν ὑμνῆσαι τὸν θεὸν τὸν ἐγείραντα τὸν Χριστόν.
τὸ δὲ χεῖρον ὅτι καὶ ἐν τῇι τῶν Πράξεων τῶν ἀποστόλων γενομένηι παρ' αὐτοῦ δῆθεν ἑρμηνείαι
συγκρίνων ὁ αὐτὸς Θεόδωρος τὸν Χριστὸν Πλάτωνι καὶ Μανιχαίωι καὶ Ἐπικούρωι καὶ Μαρ-
κίωνι λέγει ὅτι ὥσπερ ἐκείνων ἕκαστος εὑράμενος οἰκεῖον δόγμα τοὺς αὐτῶι μαθητεύσαντας
πεποίηκε καλεῖσθαι Πλατωνικοὺς καὶ Μανιχαίους καὶ Ἐπικουρείους καὶ Μαρκιωνιστάς, τὸν
ὅμοιον τρόπον καὶ τοῦ Χριστοῦ εὑραμένου τὸ δόγμα ἐξ αὐτοῦ τοὺς Χριστιανοὺς καλεῖσθαι. εἴ
τις τοίνυν ἀντιποιεῖται Θεοδώρου τοῦ τὰ τοιαῦτα βλασφημήσαντος, ἀλλὰ μὴ ἀναθεματίζει αὐτὸν
καὶ τὰ αὐτοῦ συγγράμματα καὶ τοὺς τὰ ὅμοια αὐτῶι φρονήσαντας ἢ φρονοῦντας, ἀνάθεμα ἔστω.

ΙΒ Εἴ τις ἀντιποιεῖται τῶν συγγραμμάτων Θεοδωρήτου ἅπερ ἐξέθετο ὑπὲρ Νεστορίου τοῦ αἱρε-
τικοῦ καὶ κατὰ τῆς ὀρθῆς πίστεως καὶ τῆς ἐν Ἐφέσωι πρώτης ἁγίας συνόδου καὶ τοῦ ἐν ἁγίοις
Κυρίλλου καὶ τῶν ιβ αὐτοῦ κεφαλαίων, ἐν οἷς ἀσεβέσι συγγράμμασιν ὁ αὐτὸς Θεοδώρητος σχε-
L V 708 τικὴν λέγει τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τόν τινα ἄνθρωπον, περὶ οὗ βλασφημῶν λέγει ὅτι
ἐψηλάφησεν Θωμᾶς τὸν ἀναστάντα καὶ προσεκύνησεν τὸν ἐγείραντα, καὶ διὰ τοῦτο ἀσεβεῖς
καλεῖ τοὺς τῆς ἐκκλησίας διδασκάλους τοὺς καθ' ὑπόστασιν τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς
τὴν σάρκα ὁμολογοῦντας καὶ πρὸς τούτοις θεοτόκον ἀπαρνεῖται τὴν ἁγίαν ἔνδοξον ἀειπάρθενον
Μαρίαν, εἴ τις τοίνυν τὰ εἰρημένα συγγράμματα Θεοδωρήτου ἐπαινεῖ, ἀλλὰ μὴ ἀναθεματίζει
αὐτά, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. διὰ ταύτας γὰρ τὰς βλασφημίας τῆς ἐπισκοπῆς ἐξεβλήθη
PG 1019 καὶ μετὰ ταῦτα ἐν τῇι ἁγίαι συνόδωι τῇι ἐν Χαλκηδόνι συνωθήθη πάντα τὰ ἐναντία τοῖς μνημο-
νευθεῖσιν αὐτοῦ συγγράμμασιν ποιῆσαι καὶ τὴν ὀρθὴν πίστιν ὁμολογῆσαι.

ΙΓ Εἴ τις ἀντιποιεῖται τῆς ἀσεβοῦς ἐπιστολῆς τῆς λεγομένης παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν
τὸν Πέρσην τὸν αἱρετικὸν τῆς ἀρνουμένης τὸν θεὸν λόγον ἄνθρωπον γεγενῆσθαι καὶ λεγούσης
μὴ τὸν θεὸν λόγον ἐκ τῆς παρθένου σαρκωθέντα γεννηθῆναι, ἀλλὰ ψιλὸν ἄνθρωπον ἐξ αὐτῆς γεν-
νηθῆναι, ὃν ναὸν ἀποκαλεῖ, ὡς ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν ἄνθρωπον, πρὸς τούτοις
δὲ ἐνυβριζούσης τὴν ἐν Ἐφέσωι πρώτην σύνοδον, ὡς χωρὶς ζητήσεως καὶ κρίσεως Νεστόριον
καταδικασάσης καὶ τὸν ἐν ἁγίοις Κύριλλον αἱρετικὸν ἀποκαλούσης καὶ ἀσεβῆ τὰ ιβ αὐτοῦ
κεφάλαια, Νεστόριον δὲ καὶ Θεόδωρον μετὰ τῶν ἀσεβῶν αὐτῶν συγγραμμάτων ἐπαινούσης
καὶ ἐκδικούσης, εἴ τις τοίνυν καθ' ἃ εἴρηται, τὴν εἰρημένην ἀσεβῆ ἐπιστολὴν ἐκδικεῖ ἢ ὀρθὴν
αὐτὴν εἶναι λέγει ἢ μέρος αὐτῆς, ἀλλὰ μὴ ἀναθεματίζει αὐτήν, ἀνάθεμα ἔστω.

---

3 sq. = Coll. Auell. 83 p. 250, 28 sq. Conc. L V 440 M VIIII 209 7 sq. = Coll. Auell. 83 p. 252, 2 sq. Conc. L V 441. M VIIII 210 57. 58 Theodoretus damnatus est a synodo Ephesena altera [Abhandlg d. Gött. Ges. d. Wissensch. N. F. XV 1] p. 84, 16 sq. 23. 24 anathematizauit Nestorium, nihil aliud cf. Act. Conc. II 1 p. 368, 27–30

VMX

2 δεδωκὼσ V 3 τὴν² MX ἣν V 4 τὸ MV γεγενημένην τοῦ X ὁ om. V 5 οὐδὲ V 7 δῆθεν παρ' αὐτοῦ X 12 ἀναθεματίσει V 13 αὐτοῦ V φρονοῦντασ ἢ φρονήσαντασ V φρονοῦντασ X in ἔστω finem facit X

VM

16 ὁ — θεοδώρητοσ MΛ om. V 17 λέγων M 19 κατ' V 21 προειρημένα M 29 κρίσεωσ καὶ ζητήσεωσ M 31 αὐτῶν MΛ αὐτοῦ V 32 ἐκδικῆ VM

insufflasset dominus discipulis et dixisset accipite spiritum sanctum, non dedit eis spiritum sanctum, sed figuratim tantummodo insufflauit, sed etiam confessionem quam fecit Thomas cum palpasset manus et latus domini post resurrectionem dicens dominus meus et deus meus, inquit non esse dictam a Thoma de Christo (nec enim dixit Theodorus deum esse Christum), sed ad miraculum resurrectionis stupefactum Thoman glorificasse deum, qui Christum resuscitauit, et quod peius est, etiam in interpretatione quam in Actus apostolorum scripsit Theodorus, similem fecit Christum Platoni et Manichaeo et Epicuro et Marcioni dicens quod sicut illorum unusquisque ex dogmate quod inuenit, suos discipulos fecit uocari Platonicos et Manichaeos et Epicurios et Marcionistas, simili modo et cum Christus dogma inuenisset, ex ipso Christianos uocari. si quis igitur defendit eundem Theodorum, qui talia blasphemauit, sed non anathematizat eum et eius conscripta et eos qui similia illi sapuerunt uel sapiunt, anathema sit.

XII Si quis defendit conscripta Theodoreti quae exposuit pro Nestorio haeretico et aduersus rectam fidem et Ephesenam primam sanctam synodum et sanctum Cyrillum et duodecim eius capitula, in quibus sceleratis conscriptis idem Theodoretus affectualem dicit unitatem dei uerbi ad hominem quendam, de quo blasphemans dixit quod palpauit Thomas eum qui resurrexit, et adorauit eum qui resuscitauit, et propter hoc impios uocat doctores ecclesiae, qui unitatem secundum subsistentiam dei uerbi ad carnem confitentur, et super haec dei genetricem abnegat sanctam et gloriosam semper uirginem Mariam, — si quis igitur memorata conscripta Theodoreti defendit, sed non anathematizat ea, talis anathema sit. propter tales enim blasphemias ab episcopatu deiectus est et postea in sancto Calchedonensi concilio conpulsus est omnia contraria memoratis suis conscriptis facere et rectam fidem confiteri.

XIII Si quis defendit impiam epistolam quam ad Marin Persam haereticum Ibas scripsisse dicitur, quae abnegat deum uerbum hominem factum esse et dicit non deum uerbum ex uirgine incarnatum natum esse, sed purum hominem ex ipsa esse natum, quem templum uocat, ut alius sit deus uerbum et alius homo, et super haec iniuriat Ephesenam primam synodum quasi sine inquisitione et examinatione ab ipsa Nestorio condemnato, et sanctum Cyrillum uocat haereticum et duodecim eius capitula impia dicit, Nestorium autem et Theodorum cum impiis eorum conscriptis collaudat et defendit — si quis igitur, sicut dictum est, eandem impiam epistolam uindicat uel rectam esse dicit ipsam uel partem ipsius, sed non anathematizat eam, anathema sit.

PD

2/3 confessionem — cum *om. D* 6 in *om. D* 13 XII *habet D* quae] qui *D* et *om. P* 24 XIII *habet D* 26 natum[1] *erasum P*

Τῆς τοιαύτης τοίνυν ἐπιστολῆς δικαίως ἀναθεματισθείσης διὰ τὰς περιεχομένας αὐτῇ βλασφημίας, οἱ τὰ Θεοδώρου καὶ Νεστορίου τῶν ἀσεβῶν φρονοῦντες ἐπιχειροῦσι λέγειν ταύτην δεδέχθαι παρὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου. τοῦτο δὲ λέγουσι τὴν μὲν ἁγίαν σύνοδον συκοφαντοῦντες, τῶι δὲ ταύτης προσχήματι σπουδάζοντες τῆς ὀφειλομένης κατακρίσεως ἐλευθερῶσαι Θεόδωρον καὶ Νεστόριον καὶ τὴν ἀσεβῆ ἐπιστολήν, περὶ ἧς Ἴβας πολλάκις κατηγορηθεὶς οὐκ ἐτόλμησεν ταύτην οἰκειώσασθαι διὰ τὰς περιεχομένας αὐτῇ βλασφημίας. καὶ ταῦτα ἀποδείξωμεν ἐκ τῶν διαφόρως περὶ τούτου κεκινημένων. ἐν γὰρ τοῖς παρὰ Φωτίωι καὶ Εὐσταθίωι πεπραγμένοις ἐν Τύρωι κατηγορούμενος ὁ προλεχθεὶς Ἴβας περὶ τῶν ὕβρεων τοῦ ἐν ἁγίοις Κυρίλλου φανερῶς κατέθετο μετὰ τὴν ἕνωσιν τῶν Ἀνατολικῶν τὴν πρὸς τὸν ἐν ἁγίοις Κύριλλον μηδὲν ὕβρεως ἐχόμενον εἰρηκέναι περὶ αὐτοῦ· ἡ δὲ ἐπιστολὴ ἡ πεπληρωμένη τῶν εἰρημένων βλασφημιῶν, ἐφ' αἷς κατηγορεῖτο Ἴβας, πολλὰς κατὰ τοῦ ἐν ἁγίοις Κυρίλλου ὕβρεις περιέχουσα παρίστησιν ὅτι μετὰ τὴν ἕνωσιν τὴν πρὸς τοὺς Ἀνατολικοὺς γέγονεν, ἐξ οὗ δείκνυται Ἴβας ταύτην ἀπαρνησάμενος. ὅθεν οἱ μνημονευθέντες Φώτιος καὶ Εὐστάθιος διὰ τὴν τῶν ἐγκαλούντων πληροφορίαν ἐγγράφως διετύπωσαν τὸν εἰρημένον Ἴβαν πάντα τὰ ἐναντία τῆι ἐπιστολῆι πρᾶξαι, καθὼς ἡ περὶ τούτου δοθεῖσα παρ' αὐτῶν ἐπίκρισις δείκνυσιν. ἀλλὰ μὴ πληρώσας Ἴβας τὰ παρ' ἐκείνων ἐπικριθέντα ἐξεβλήθη τῆς ἐπισκοπῆς διὰ τὰς βλασφημίας τῆς εἰρημένης ἐπιστολῆς καὶ Νόννος ἀντ' αὐτοῦ ἐχειροτονήθη, ὃς καὶ συνεκαθέσθη τῆι ἁγίαι ἐν Χαλκηδόνι συνόδωι. περὶ τῶν αὐτῶν τοίνυν καὶ ἐν Χαλκηδόνι κατηγορηθεὶς ὁ μνημονευθεὶς Ἴβας μετὰ τὴν ἀνάγνωσιν τῆς ἀσεβοῦς ἐπιστολῆς οὐκ ἐτόλμησε ταύτην οἰκειώσασθαι, ἀλλ' εὐθὺς αὐταῖς λέξεσιν ἐπήγαγεν ὅτι ἀλλότριός εἰμι τῶν ἐπαγομένων μοι· ὅθεν ἡ ἁγία σύνοδος μὴ ἀρκεσθεῖσα τῆι ἀρνήσει Ἴβα τῆι ἐπὶ τῆι ἀσεβεῖ ἐπιστολῆι συνώθησεν αὐτὸν τἀναντία ταύτηι πρᾶξαι, τουτέστιν τὴν ἐν αὐτῇ ἀθετουμένην ὀρθὴν πίστιν ὁμολογῆσαι καὶ τὴν ἐν Ἐφέσωι πρώτην ἁγίαν σύνοδον δέξασθαι καὶ τὸν ἐν ἁγίοις Κύριλλον πατέρα καὶ διδάσκαλον ἐπιγράψασθαι, τὰ ἐν τῆι αὐτῆι ἀσεβεῖ ἐπιστολῆι ὑβριζόμενα, καὶ Νεστόριον καὶ τὸ ἀσεβὲς αὐτοῦ δόγμα ἀναθεματίσαι, ἅπερ ἡ ἀσεβὴς ἐπιστολὴ ἐπαινεῖ καὶ ἐκδικεῖ. εἰ τοίνυν καὶ αὐτὸς Ἴβας διαφόρως κατηγορηθεὶς περὶ τῆς ἀσεβοῦς ἐπιστολῆς οὐκ ἐτόλμησεν αὐτὴν οἰκειώσασθαι, ἀλλὰ καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος πάντα τὰ ἐναντία ταύτης παρεσκεύασεν αὐτὸν πρᾶξαι, πῶς εἶχεν ἡ αὐτὴ ἁγία σύνοδος τὴν εἰρημένην ἐπιστολὴν δέξασθαι καὶ τῶι κρίματι τῆς περιεχομένης αὐτῇ ἀσεβείας ὑποπεσεῖν, ἀφ' ἧς Ἴβαν ἐλευθερῶσαι ἐσπούδασεν; ἐπειδὴ δὲ πάσας ὑπερβαίνοντες τὰς περιεχομένας τῆι ἐπιστολῆι βλασφημίας οἱ αἱρετικοὶ τοῦτο μόνον ἐξ αὐτῆς προφέρουσι τὸ πρὸς ἀπάτην τῶν ἁπλουστέρων παρὰ τοῦ τὴν ἐπιστολὴν γράψαντος εἰρημένον, τουτέστιν δύο φύσεις, μίαν δύναμιν, ἓν πρόσωπον, ἀποδείξωμεν αὐτὸν καὶ ἐν τούτωι τὴν ἰδίαν ἀσέβειαν παραμιγνύντα. τίνος γὰρ ἂν καὶ λέγοι δύο φύσεις καὶ ἓν πρόσωπον ὁ ἀπαρνούμενος τὸν θεὸν λόγον σαρκωθῆναι ἐκ τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τεχθῆναι ἐξ αὐτῆς; ἀλλὰ πρόδηλον ὡς ἑκάστηι φύσει ἴδιον πρόσωπον ἀπονέμει, καθὼς Θεόδωρος καὶ Νεστόριος ἐν τοῖς οἰκείοις λόγοις βλασφημοῦντες ἐξέθεντο, οὓς ἐκδικεῖ ὁ γράψας τὴν ἐπιστολὴν μετὰ τῆς αὐτῶν ἀσεβείας. ἐκεῖνοι γὰρ φανερῶς λέγοντες δύο πρόσωπα τοῦ θεοῦ λόγου

Act. Conc. II 1 p. 393, 29. 30
L V 709
PG 1021
Act. Conc. II 1 p. 392, 1. 2

7–10 cf. Act. Conc. II 1 p. 390, 22–25 13–15 cf. l. c. p. 374, 4 sq.

VM

2 οἱ τὰ M οἷα V 7/8 φωτίου καὶ εὐσταθίου V 11 κατηγορεῖται V 12 ὕβρισ V 17 καὶ[1] om. V 18 χαλκηδόνι[2] etiam M 24 ἀσεβεῖ om. M 27 αὐτὸν om. M 33 λέγει V 36 βλασφημήσαντεσ M οὓσ καὶ V 37 λέγουσι V

Tali ergo impia epistula iuste anathematizata propter insertas ei blasphemias Theodori et Nestorii impiorum sequaces conantur dicere susceptam esse eam a sancto Calchedonensi concilio. hoc autem dicunt sanctam quidem Calchedonensem synodum calumniantes, nomine autem eius festinantes debita condemnatione liberare Theodorum et Nestorium et impiam epistulam pro qua Ibas saepius accusatus non est ausus eam suam dicere propter insertas ei blasphemias. et haec demonstremus ex his quae diuerse de ista causa mota sunt. in his enim quae apud Photium et Eustathium Tyri acta sunt, cum accusaretur praedictus Ibas de iniuriis sancti Cyrilli, manifeste confessus est post unitatem Orientalium quae ad sanctae memoriae Cyrillum facta est, nihil iniuriosum de eo dixisse. epistula autem plena praedictis blasphemiis, pro quibus accusabatur Ibas, multas contra sanctum Cyrillum iniurias continens facta esse ostenditur post unitatem ad Orientales factam, ex quo demonstratur Ibas eam abnegasse. unde praedicti Photius et Eustathius satisfacientes accusatoribus in scriptis definierunt praedictum Ibam omnia contraria epistolae peragere, sicut iudicium ab eis datum significat. sed cum Ibas non adimplesset ea quae illi iudicauerunt, eiectus est ab episcopatu propter blasphemias praedictae epistulae et Nonnus pro illo ordinatus est, qui et consedit sancto Calchedonensi concilio. de eisdem igitur etiam in Calchedone accusatus memoratus Ibas post lectionem impiae epistulae non est ausus eam suam esse confiteri, sed statim ipsis uerbis intulit alienum se esse eorum quae ei inferebantur. unde sancta synodus, cum ei non sufficeret abnegatio Ibae quae facta est de epistula, compulit eum contraria ei peragere, id est reprobatam in ea rectam fidem confiteri et Ephesenam primam sanctam synodum suscipere et sanctum Cyrillum patrem et doctorem adscribere, quae in eadem impia epistula iniuriantur, et Nestorium et impium eius dogma anathematizare, quae impia epistula defendit et collaudat. si igitur et ipse Ibas propter impiam epistulam saepius accusatus non est ausus eam suam dicere, sed etiam Calchedonense sanctum concilium omnia ei contraria compulit eum peragere, quomodo eadem sancta synodus memoratam epistulam susciperet et condemnationi impietatis quae in ea continetur, sese subiceret, a qua Ibam liberare festinauit? quoniam autem omnes blasphemias epistulae praetermittentes haeretici hoc solum ex ipsa proferunt quod ad decipiendos simpliciores scriptor epistulae dixit, hoc est duas naturas, unam uirtutem, unam personam, demonstramus ipsum quod et in hoc suam commiscuit impietatem. cuius enim dicit duas naturas et unam personam, qui abnegat deum uerbum incarnatum de sancta et gloriosa dei genetrice et semper uirgine Maria natum esse ex ipsa? sed certum est quod unicuique naturae suam personam attribuit, sicut Theodorus et Nestorius in suis libris blasphemantes exposuerunt, quos defendit scriptor epistolae cum eorum impietate. illi enim aperte dicentes duas personas dei uerbi et Christi, quem purum hominem uocant,

PD

26 suscipere *D* 34 quod *D*

καὶ τοῦ Χριστοῦ, ὃν ψιλὸν ἄνθρωπον ἀποκαλοῦσιν, κατὰ σχετικὴν συνάφειαν καὶ τὴν αὐτὴν ἀξίαν τε καὶ τιμὴν ἐν πρόσωπον ἀναφαίνεσθαι λέγουσιν. ἀλλὰ καὶ τῶν δύο φύσεων μίαν δύναμιν ἤτοι δυναστείαν λέγων ὁ γράψας τὴν ἐπιστολὴν φανερὸς ἐστιν ὡς καὶ ἐν τούτωι ἀκολουθεῖ τοῖς εἰρημένοις αἱρετικοῖς, Θεοδώρωι μὲν λέγοντι ἐν τοῖς περὶ ἐνανθρωπήσεως αὐτοῦ διαφόροις λόγοις ἀσεβῶς ἐκτεθεῖσιν, Νεστορίωι δὲ ἐν πολλοῖς συγγράμμασι, μάλιστα δὲ ἐν τῆι ἐπιστολῆι
frg. 183 Loofs τῆι γραφείσηι πρὸς Ἀλέξανδρον τὸν αἱρετικὸν τὸν Ἱεραπολίτην ὅτι τῶν δύο φύσεων μία ἐστὶν αὐθεντία καὶ μία δύναμις ἤτοι δυναστεία καὶ ἓν πρόσωπον κατὰ μίαν ἀξίαν καὶ τὴν αὐτὴν τιμήν. ἀφ' ὧν ἀποδείκνυται ὁ τὴν ἐπιστολὴν γράψας κατὰ τὴν ἐκείνων κακοδοξίαν ἀντὶ προσώπων τῆι τῶν φύσεων προσηγορίαι χρησάμενος. μία γὰρ αὐθεντία καὶ μία δύναμις ἤτοι δυναστεία καὶ μία ἀξία καὶ ἡ αὐτὴ τιμὴ οὐκ ἐπὶ διαφόρων φύσεων, ἀλλ' ἐπὶ διαφόρων προσώπων τῆς αὐτῆς οὐσίας λέγεται, ὅπερ ἐπὶ τῆς ἁγίας τριάδος ὁμολογοῦμεν. ὅθεν καὶ οἱ ἅγιοι πατέρες ἀνεθεμάτισαν τοὺς κατ' αὐθεντίαν ἢ δύναμιν ἤτοι δυναστείαν ἢ ἀξίαν ἢ ἰσοτιμίαν λέγοντας τὸν θεὸν λόγον τῶι Χριστῶι ἡνῶσθαι, ὃν ψιλὸν ἄνθρωπον οἱ ἀπὸ Θεοδώρου καὶ Νεστορίου καλοῦσιν, ἀλλ' οὐχὶ καθ' ὑπόστασιν τὴν τοῦ λόγου πρὸς τὴν σάρκα ἐψυχωμένην ψυχῆι λογικῆι καὶ νοερᾶι τὴν ἕνωσιν γεγενῆσθαι ὁμολογοῦντας.

Καὶ ἤρκει μὲν ταῦτα πρὸς τὸ διελέγξαι τὴν ἀσέβειαν τῶν ἐκδικούντων τὴν μυσαρὰν ἐκείνην ἐπιστολήν· πλὴν ὅμως καὶ πρὸς τῶι τέλει τῆς αὐτῆς ἐπιστολῆς ὁ ταύτην γράψας τὴν ἰδίαν δείκνυσιν
Act. Conc. l. c. p. 393, 24. 25 κακοδοξίαν λέγων ὅτι δεῖ πιστεύειν εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῶι ναῶι, ἐν οἷς φανε-
LV 712 ρῶς δύο εἰσάγει πρόσωπα. ἀλλὰ καὶ ταύτην τὴν ἀσέβειαν ὁ γράψας τὴν ἐπιστολὴν παρὰ Θεοδώρου καὶ Νεστορίου ἐδιδάχθη, ἡ μέντοι καθολικὴ ἐκκλησία τὴν τοιαύτην κακοδοξίαν κατακρίνουσα οὐχὶ εἰς τὸν ναὸν καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῶι ναῶι, ἀλλ' εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον σαρκωθέντα καὶ ἐνανθρωπήσαντα ὁμολογεῖν καὶ πιστεύειν παραδίδωσιν. οὐδὲν δὲ θαυμαστὸν εἰ τῆι τῶν φύσεων ὀνομασίαι ἐχρήσατο ὁ τὴν ἀσεβῆ ἐκείνην ἐπιστολὴν γράψας· ἔθος γὰρ τοῖς αἱρετικοῖς πρὸς ἀπάτην τῶν ἁπλουστέρων ταῖς παρὰ τῶν ὀρθοδόξων
PG 1023 εὐσεβῶς λεγομέναις φωναῖς κεχρῆσθαι καὶ τὴν εὐσεβῆ τούτων ἔννοιάν τε καὶ ἐξήγησιν πρὸς τὴν οἰκείαν μεταφέρειν ἀσέβειαν, ἐπειδὴ ἔστιν ὅτε αἱ αὐταὶ φωναὶ καλῶς μὲν ἐξηγούμεναι καὶ νοούμεναι μετὰ τῆς εὐσεβείας εἰσίν, κακῶς δὲ παρὰ τῶν αἱρετικῶν ἑρμηνευόμεναι καὶ προφερόμεναι τὸ ἀσεβὲς ἔχουσιν. ἀμέλει Νεστόριον εἰπόντα μὲν δύο φύσεις καὶ ἓν πρόσωπον, μὴ ὁμολογήσαντα δὲ τούτων τὴν καθ' ὑπόστασιν ἕνωσιν ἡ ἐν Ἐφέσωι πρώτη ἁγία σύνοδος, ἧς ἐξῆρχον Κελεστῖνος καὶ Κύριλλος οἱ ἐν ὁσίαι τῆι μνήμηι, οὐ προσεδέξατο, ἀλλὰ κατεδίκασεν. ἡμεῖς δὲ τῆι τῶν ἁγίων πατέρων διδασκαλίαι διὰ πάντων ἀκολουθοῦντες καὶ τὴν τῶν δύο φύσεων ἕνωσιν ἐξ ὧν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ εἷς τῆς ἁγίας τριάδος ὁ θεὸς λόγος σαρκωθεὶς συνετέθη, καὶ τὴν τούτων διαφορὰν οὐκ ἀνηιρημένην διὰ τὴν ἕνωσιν ἐν τοῖς ἀνωτέρω σαφέστερον ἀπεδείξαμεν. καὶ ἤρκει μὲν τὰ παρ' ἡμῶν εἰρημένα πληροφορῆσαι τοὺς μὴ βουλομένους φιλονικεῖν· ἀλλ' ἐπειδὴ πρὸς ἀσέβειαν ἅπαξ ἐκκλίναντες καὶ ἑτέροις ἐπιχειροῦσιν, ἀναγκαίως ἡμεῖς καὶ τὰς τοιαύτας αὐτῶν προφάσεις ματαίας ἀποδείξωμεν. φασὶ γὰρ μὴ δεῖν ὑπὸ μέμψιν γενέσθαι τὴν ἀσεβῆ ἐπιστολὴν διὰ τὸ φέρεσθαι ἔν τισι βιβλίοις. ἀλλ' εἰ τοῦτό τις κατὰ τὴν αὐτῶν ἄνοιαν προσδέξηται, δεῖ καὶ Νεστόριον καὶ Εὐτυχέα δέχεσθαι, ἐπειδὴ πολλὰ καὶ περὶ τούτων τοῖς ἐν τῆι συνόδωι πεπραγμένοις ἐμφέρεται. ἀλλ' οὐδεὶς τῶν εὖ φρονούν-

---

VM

6 τὸν² om. V 11 τῆσ¹ MΛ καὶ τῆσ V 12 ἤτοι V ἢ M ἰσοτίμωσ V 14 τὴν² om. M 15 ἕνωσιν MΛ γένεσιν V 17 τῶι] τὸ VM 29 ὁμολογοῦντα V 30 προσεδέξαντο — κατεδίκασαν V ἀλλὰ καὶ V 32 ὁ χ̄σ̄ V 33 ἐν τοῖσ MΛ ὡσ V 38 εὐτυχέα καὶ νεστόριον V

per affectualem coniunctionem et per eandem dignitatem et honorem unam personam apparere dicunt. sed et duarum naturarum unam uirtutem siue potentiam dicens scriptor epistulae manifestus est quod et in hoc memoratos haereticos sequitur. Theodorum quidem dicentem in diuersis libris de incarnatione impie expositis, Nestorium autem in multis quidem scriptis et maxime in epistula scripta ad Alexandrum Hierapolitanum haereticum quod duarum naturarum una est auctoritas et una uirtus siue potentia et una persona per dignitatem eundemque honorem. ex quo ostenditur, qui scripsit epistulam, secundum illorum perfidiam pro personis usus uocabulo naturarum. una enim auctoritas et una uirtus siue potentia et una dignitas et idem honor non in diuersis naturis, sed in diuersis personis eiusdem substantiae dicitur, quod in sancta trinitate confitemur. unde et sancti patres anathematizauerunt eos qui per auctoritatem aut uirtutem siue potentiam aut dignitatem aut aequalitatem honoris dicunt deum uerbum unitum esse Christo, quem purum hominem uocant Theodori et Nestorii sequaces, sed non secundum subsistentiam dei uerbi ad carnem animatam anima rationabili et intellectuali unitatem factam esse confitentur.

Et haec quidem sufficiebant ad conuincendam impietatem eorum qui sceleratam epistulam uindicant, tamen et in fine scriptor eiusdem epistulae ostendit suam perfidiam dicendo quod oportet credere in templum et in eum qui habitat in templo, per quae aperte duas introducit personas. sed et istam impietatem a Theodoro et Nestorio scriptor epistulae edoctus est, catholica autem ecclesia talem condemnans perfidiam non in templum et in eum qui habitat in templo, sed in unum dominum Iesum Christum dei uerbum incarnatum et hominem factum confitetur et credere tradit. nihil autem mirandum est si uocabulo naturarum usus est scriptor illius impiae epistulae. solent enim haeretici, ut simpliciores deciperent, uocibus quidem uti quae ab orthodoxis pie dicuntur, rectum autem earum intellectum et expositionem ad suam impietatem transferre, quoniam est quando eaedem uoces, cum bene exponuntur et intelleguntur, cum pietate sunt, quando autem male ab haereticis interpretantur et proferuntur, impietatem habent. itaque Nestorium duas quidem naturas et unam personam dicentem, non confitentem autem earum unitatem secundum subsistentiam Ephesena prima synodus, cuius auctores erant Caelestinus et Cyrillus sanctae memoriae, non suscepit, sed condemnauit. nos autem sanctorum patrum doctrinam per omnia sequentes et unitatem duarum naturarum ex quibus dominus noster Iesus Christus unus sanctae trinitatis deus uerbum incarnatus compositus est, et quod earum differentia non interempta est propter unitatem, in superioribus apertius demonstrauimus. et sufficiebant quidem quae praediximus, satisfacere eis qui nolunt contendere; sed quoniam illi qui semel ad impietatem declinauerunt, et alia proponere conantur, necessario nos et tales eorum occasiones uanas ostendemus. dicunt enim non oportere uituperari impiam epistulam eo quod in aliquantis fertur codicibus. sed si hoc aliquis secundum eorum dementiam suscipiat, oportet et Nestorium et Eutychen suscipi, quoniam plurima et de his in gestis continentur quae apud synodum acta sunt. sed nemo sapiens

---

PD

23 illius — 37 uitupe — *om. P propter folii defectum* 33 differentiam *D* 38 et[1] *om. P*

των τοῖς παρ' αὐτῶν λεγομένοις προσέξει τὸν νοῦν. τὰ γὰρ περὶ τῶν αἱρετικῶν ἐν ταῖς συνόδοις προφερόμενα καὶ μέρος τῶν ὑπομνημάτων γινόμενα οὐκ ἐπὶ τῶι ἐλευθερωθῆναι, ἀλλ' εἰς ἔλεγχον αὐτῶν καὶ ἐπὶ μείζονι κατακρίσει αὐτῶν τε καὶ τῶν τὰ ὅμοια αὐτοῖς φρονούντων παραλαμβάνεται. εἰ καὶ ὅτι τὰ περὶ τῆς ἀσεβοῦς ἐπιστολῆς φερόμενα ὑπομνήματα ἔν τισι μὲν βιβλίοις, ὡς εἴρηται, ἐντέτακται, ἐν δὲ τοῖς αὐθεντικοῖς, ἐν οἷς ὑπέγραψαν οἱ ὁσιώτατοι ἐπίσκοποι, οὐδαμῶς ηὕρηται. πλὴν κἀκείνωι δεῖ προσέχειν τοὺς τὴν ἀλήθειαν ἐρευνῶντας ὅτι πολλάκις τινὰ ἐν ταῖς συνόδοις παρά τινων ἐν αὐταῖς εὑρισκομένων λέγεται ἢ κατὰ προσπάθειαν ἢ κατ' ἐναντίωσιν ἢ κατὰ ἄγνοιαν, οὐδεὶς δὲ προσέχει τοῖς κατὰ μέρος παρά τινων λεγομένοις, ἀλλὰ μόνοις τοῖς κατὰ κοινὴν συναίνεσιν παρὰ πάντων ὁριζομένοις. εἰ γὰρ κατ' ἐκείνους βουληθείη τις προσέχειν ταῖς τοιαύταις ἐναντιώσεσιν, ἑκάστη σύνοδος εὑρεθήσεται ἑαυτὴν ἀνατρέπουσα. διὰ ταῦτα τοίνυν ἔδει αὐτούς, εἴπερ ὀρθῶς ἐδέχοντο τὴν ἁγίαν σύνοδον, μὴ τοιαύτας αὐτῆι μέμψεις περιάπτειν, ἀλλὰ ἀκολουθῆσαι τοῖς διδασκάλοις τῆς καθολικῆς ἐκκλησίας καὶ μάλιστα τῶι ἐν ἁγίοις Ἀθανασίωι τῶι γενομένωι τῆς Ἀλεξανδρέων ἐπισκόπωι καὶ πολλοὺς καὶ μεγάλους ἀγῶνας
14 ἀναδεξαμένωι ὑπὲρ τῆς ὀρθῆς τῶν Χριστιανῶν πίστεως κατὰ πάσης αἱρέσεως καὶ μάλιστα τῶν
L V 713 ἀσεβεστάτων Ἀρειανῶν. τῶν γὰρ αὐτῶν Ἀρειανῶν πρὸς ἀπάτην τῶν λαῶν εἰς τὴν ἑαυτῶν μερίδα ἐπισπωμένων Διονύσιον πρὸ πολλῶν ἐτῶν τοῦ ἐν ἁγίοις Ἀθανασίου τῆς Ἀλεξανδρέων γενόμενον ἐπίσκοπον καὶ λεγόντων ὡς καὶ αὐτὸς Διονύσιος τὰ ὅμοια αὐτοῖς ἐφρόνησεν, Ἀθανάσιος ὁ μέγας τῆς ἐκκλησίας διδάσκαλος πολλοῖς τρόποις ἐγγράφως ἀπέδειξεν τὴν ὀρθὴν πίστιν Διονύσιον ἐξ ἀρχῆς κηρῦξαι καὶ μηδαμῶς ἐπικοινωνῆσαι τῆι τῶν Ἀρειανῶν ἀσεβείαι. οὗτοι
20 δὲ τὰ τῶν αἱρετικῶν φρονοῦντες τὴν οἰκείαν ἀσέβειαν ταύτηι περιάπτειν σπουδάζουσιν. ὁποῖον
PG 1025 δὲ ἐστι κατάκριμα καὶ ποία ἐπίκειται κατάρα τοῖς εἰς πατέρας ἁμαρτάνουσιν, διδάσκει ἡμᾶς καὶ ἡ θεία γραφή. εἰ γὰρ Χὰμ ὁ υἱὸς τοῦ Νῶε θεασάμενος γυμνὸν τὸν ἴδιον πατέρα καὶ μὴ συγκαλύψας τὴν τοῦ πατρὸς σωματικὴν γύμνωσιν ἐξελθὼν ἀπήγγειλε ταύτην τοῖς ἀδελφοῖς καὶ ἐκεῖνοι ἱματίωι ταύτην περιεσκέπασαν, αὐτὸς δὲ Χὰμ καὶ οἱ ἐξ αὐτοῦ γεννώμενοι ὑπὸ κατάραν γεγόνα-
25 σιν, οἱ δὲ σκεπάσαντες εὐλογίας μεγάλης ἠξιώθησαν, πολλῶι μᾶλλον οὗτοι μείζονος καὶ ἔτι πλείονος κατακρίσεώς εἰσιν ἄξιοι οἱ τὴν μηδαμῶς προσοῦσαν ἀτιμίαν τῆι συνόδωι σπουδάζοντες διὰ τῆς ἀσεβείας τῆς ἐπιστολῆς καὶ Θεοδώρου περιάπτειν αὐτῆι. ἀλλ' οὐ διὰ τοῦτο ἡ ἀσεβὴς ἐπιστολὴ ἢ οἱ ταύτης ἀντιποιούμενοι ἐκφεύξονται τὴν ἐπὶ τῆι αὐτῶν ἀσεβείαι κατάκρισιν, ἀλλ' οὐδὲ Θεόδωρος ὁ Ἕλληνάς τε καὶ Ἰουδαίους καὶ πάντας αἱρετικοὺς τῆι ἀσεβείαι ὑπερβαλλό-
30 μενος. οὗτος γὰρ πρὸς ταῖς ἄλλαις αὐτοῦ βλασφημίαις οὐκ ἠρκέσθη τῶι πρὸς τὴν ἰδίαν πλάνην παρερμηνεῦσαι τὸ σύμβολον τῶν τι καὶ ῑ ἁγίων πατέρων, ἀλλὰ καὶ περιφρονήσας τούτου ἕτερον σύμβολον ἐξέθετο πάσης ἀσεβείας πεπληρωμένον, ἐν ὧι ἀναθεματίσαι τοὺς ἑτέρως φρονοῦντας ἢ παραδιδόντας ἐτόλμησεν, ὥστε ὅσον κατὰ τὴν ἐκείνου μανίαν πάντας τοὺς ἁγίους ἀποστόλους καὶ πατέρας κατακεκρίσθαι. τοῦτο δὲ τὸ ἀσεβὲς Θεοδώρου σύμβολον καὶ ἐν
35 τῆι κατ' Ἔφεσον πρώτηι συνόδωι προκομισθὲν καὶ ἐν Χαλκηδόνι ἀναγνωσθὲν ὑφ' ἑκατέρας συνόδου μετὰ τοῦ ἐκθεμένου καὶ τῶν δεχομένων αὐτὸ κατεκρίθη.

34–36 recitatum est symbolum Theodoro non nominato Ephesi Act. Conc. I 1, 7 p. 97, 26 sq., Chalcedone ex gestis concilii Epheseni alterius Act. Conc. II 3 p. 215, 3 sq.

VM

3 τούτοισ V 4–6 εἰ καὶ — ηὕρηται om. Λ 4 περὶ om. V 6 κακεινο M δεῖ ΜΛ δὲ V 7 αὐτοῖσ V 10 εὑρίσκεται V 12 τῶι] τοῖσ V 20 φρονοῦντεσ εἰσ V *eidem synodo* Λ 21 ἀρὰ V 22/23 καλύψασ V 24 δὲ V μὲν ΜΛ γεννηθέντεσ V 33 ἐκείνων V 36/37 δεξαμένων V

dictis eorum animum intendet. quae enim de haereticis proferuntur in synodis et pars gestorum fiunt, non ad liberationem inseruntur, sed ad maiorem condemnationem eorum et qui eis similia sapiunt. oportet autem etiam illud adtendere eos qui ueritatem perscrutantur, quod forsitan in conciliis quaedam a certis ibi conuenientibus dicuntur aut per fauorem aut per contrarietatem aut per ignorantiam, nemo autem adtendit ea quae per partem a quibusdam dicuntur, sed sola illa quae ab omnibus communi consensu definiuntur. si enim aliquis secundum illos uoluerit adtendere eiusmodi contrarietates, unaquaeque synodus inuenietur semet ipsam destruens. propter haec igitur oportebat eos, si sanctum concilium recte susciperent, non tales blasphemias ei applicare, sed sequi doctores catholicae ecclesiae et maxime sanctum Athanasium, qui fuit Alexandriae episcopus et plurimos et magnos labores suscepit pro recta Christianorum fide aduersus omnem haeresin et maxime contra impiissimos Arrianos. ipsis enim Arrianis ad decipiendos populos suo errori coniungentibus Dionysium, qui ante multos annos Athanasii fuit Alexandriae episcopus, et dicentibus quod et ipse Dionysius similia eis sapuit, Athanasius magnus ecclesiae doctor multis modis ostendit in scriptis rectam fidem Dionysium ab initio praedicasse nulloque modo participem Arrianae impietatis fuisse. isti autem haeretica sapientes suam impietatem eidem synodo applicare festinant. qualis autem est condemnatio et qualis imminet maledictio eis qui in patres peccant, docet nos et diuina scriptura. si enim Cham filius Noe cum uidisset nudum suum patrem, quoniam non cooperuit patris corporalem nuditatem, sed egressus nuntiauit eam fratribus et illi uestimento eam cooperuerunt, ipse quidem Cham et illi qui ex ipso nati sunt, sub maledictione facti sunt, qui autem cooperuerunt, magnam benedictionem meruerunt, multo magis isti maiore et ampliore condemnatione digni sunt, qui ad synodum minime pertinentem infamiam festinant per impietatem epistulae et Theodori eidem sanctae synodo applicare. sed non ideo impia epistula uel defendentes eam condemnationem suae impietatis effugient, sed neque Theodorus, qui paganos et Iudaeos et omnes haereticos impietate superat. impio enim Theodoro non suffecit super alias eius blasphemias ad suum errorem male interpretari symbolum trecentorum decem et octo sanctorum patrum, sed etiam contempto eo aliud symbolum exposuit omni impietate plenum, in quo anathematizare ausus est eos, qui aliter sapiunt vel tradunt, ut quantum ad illius insaniam pertinet, omnes sancti apostoli et patres condemnarentur. hoc autem Theodori impium symbolum et in Ephesena prima synodo prolatum et in Calchedonensi recitatum ab utraque synodo cum eius expositore et eis qui illud suscipiunt, condemnatum est.

PD

25 suae — p. 103, 6 agit *om. P propter folii defectum* 27 sufficit *D*

Ἐπειδὴ δέ τινες τὸν ὑπὲρ Θεοδώρου λόγον ποιούμενοι προφερομένων τῶν ἀσεβῶν αὐτοῦ συγγραμμάτων διὰ τὴν ἐνοῦσαν αὐτοῖς βλασφημίαν προσποιοῦνται μὲν λέγειν ὅτι ἀσεβῆ ταῦτα τυγχάνει, αὐτὸν δὲ τὸν τὴν τοιαύτην ἀσέβειαν ἐξεμέσαντα παραιτοῦνται ἀναθεματίζειν, θαυ-
4 μάζομεν τὴν τούτων ἄνοιαν ὅτι τῇι θείαι τολμῶσιν ἐναντιοῦσθαι γραφῇι φανερῶς λεγούσηι ὅτι
Sap. Sal. 14, 9 ἐν ἴσωι μισητὰ θεῶι καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ. καὶ γὰρ τὸ πραχθὲν σὺν τῶι δράσαντι κολασθήσεται. εἰ δὲ ὁμοίως τῇι αὐτοῦ ἀσεβείαι μισητὸς θεῶι καὶ ὁ ἀσεβῶν, πρόδηλον ὡς ὁ τοιοῦτος κεχώρισται τοῦ θεοῦ καὶ τῶι ἀναθέματι δικαίως ὑποβάλλεται. τὸ γὰρ ἀνάθεμα οὐδὲν ἕτερον σημαίνει ἢ τὸν ἀπὸ τοῦ θεοῦ χωρισμόν, ὡς ἐν τῇι παλαιᾶι καὶ τῇι καινῇι διαθήκηι τὸ περὶ τοῦ ἀναθέματος κρίμα δηλοῖ. ὅτι δὲ καὶ ὁ κύριος τοὺς μὴ μέ-
10 νοντας ἐν τῶι τῆς ἀληθείας αὐτοῦ λόγωι κεχωρισμένους εἶναι λέγει τῆς ἐκκλησίας, ἐν τῶι κατὰ
Ioh. 8, 34. 35 Ἰωάννην εὐαγγελίωι πρὸς τοὺς Ἰουδαίους διαλεγόμενος οὕτω φησίν· πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστιν τῆς ἁμαρτίας. ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇι οἰκίαι εἰς τὸν αἰῶνα, ὁ δὲ υἱὸς μένει εἰς τὸν αἰῶνα. ὅτι δὲ τὴν παρὰ τοῦ κυρίου ὠνομασ-
L V 716 μένην οἰκίαν ἡ θεία γραφὴ ἐκκλησίαν θεοῦ ζῶντος καλεῖ, ὁ ἀπόστολος μαρτυρεῖ ἐν τῇι πρὸς
1 Tim. 3, 15 Τιμόθεον πρώτηι ἐπιστολῇι.

16 Εἰ δὲ λέγουσί τινες μὴ δεῖν Θεόδωρον μετὰ θάνατον ἀναθεματίζεσθαι, ἴστωσαν οἱ τὸν τοιοῦτον αἱρετικὸν ἐκδικοῦντες ὡς πᾶς αἱρετικὸς μέχρι τέλους τῇι οἰκείαι πλάνηι ἐμμείνας δικαιότερον διηνεκεῖ ἀναθεματισμῶι καὶ μετὰ θάνατον ὑποβάλλεται. καὶ τοῦτο ἐπὶ πολλοῖς γέγονεν αἱρετικοῖς ἀρχαιοτέροις τε καὶ τοῖς ἐγγυτέρω, τουτέστιν Βαλεντίνωι Βασιλείδηι Μαρκίωνι Κηρίνθωι Μανι-
20 χαίωι Εὐνομίωι καὶ Βονόσωι· τοῦτο δὲ αὐτὸ καὶ ἐπὶ Θεοδώρωι γέγονεν καὶ ἐν ζωῆι κατηγορηθέντι
PG 1027 καὶ μετὰ θάνατον ἀναθεματισθέντι ὑπὸ τῶν ἁγίων πατέρων, οἷς εἰ μὴ βούλονται πείθεσθαι ὡς αἱρετικοὶ οἱ τούτου ἀντιποιούμενοι, τῇι γοῦν παρ' αὐτῶν ἐκδικουμένηι ἀσεβεῖ ἐπιστολῇι πιστευ-
Act. Conc. II 1 p. 392, 33–36 σάτωσαν, ἥτις εἰ καὶ τὰ μάλιστα Θεόδωρον ἐκδικεῖ, ὅμως φανερῶς λέγει ὅτι καὶ ἐπ' ἐκκλησίας παρὰ ἁγίων πατέρων ἀνεθεματίσθη καὶ ἐξ ἐκείνου πολλὴ ζήτησις γέγονεν περὶ τῶν αὐτοῦ συγ-
25 γραμμάτων ὡς ἀσεβείας δηλονότι πεπληρωμένων. τοῦτο δὲ ἐποίουν τηνικαῦτα οἱ τῆς καθολικῆς ἐκκλησίας, ἐφ' ὧι μὴ τοὺς ἁπλουστέρους ἐντυγχάνοντας τοῖς ἐκείνου ἀσεβέσι συγγράμμασι τῆς ὀρθῆς παρατρέπεσθαι πίστεως. ὅτι δὲ οἱ ἀσεβεῖς εἰ καὶ μὴ τὸν κατὰ πρόσωπον ἐν ζωῆι δέξωνται ἀναθεματισμόν, ὅμως καὶ μετὰ θάνατον ἀναθεματίζονται ὑπὸ τῆς καθολικῆς ἐκκλησίας, δείκνυται ἐκ τῶν ἁγίων συνόδων. ἡ μὲν γὰρ ἐν Νικαίαι τοὺς τὸ ἀσεβὲς Ἀρείου φρόνημα πρε-
30 σβεύοντας ἀνωνύμως ἀνεθεμάτισεν, ἡ δὲ ἐν Κωνσταντινουπόλει τὴν Μακεδονίου ἀσεβεστάτην αἵρεσιν, ἀλλ' ὅμως ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία καὶ μετὰ θάνατον Ἄρειον καὶ Μακεδόνιον ὀνομαστὶ ἀναθεματίζει. ἐκ πολλῶν δὲ τῶν ἀποδείξεων ἐλεγχόμενοι ὡς ἀσεβοῦσι, διὰ κενῆς οἱ Θεοδώρου καὶ τῆς ἀσεβείας αὐτοῦ ἀντιποιούμενοι ἐφ' ἑτέραν ματαίαν πρόφασιν καταφεύγουσιν λέγοντες μὴ δεῖν αὐτὸν ἀναθεματισθῆναι διὰ τὸ ἐν τῇι κοινωνίαι τῶν ἐκκλησιῶν τετελευτη-
35 κέναι. ἔδει δὲ αὐτοὺς εἰδέναι ὡς ἐκεῖνοι τελευτῶσιν ἐν τῇι κοινωνίαι τῶν ἐκκλησιῶν οἱ τὸ κοινὸν τῆς εὐσεβείας δόγμα τὸ ἐπὶ τῆς καθολικῆς κηρυττόμενον ἐκκλησίας μέχρι τέλους φυλάξαντες, οὗτος δὲ τῇι οἰκείαι ἐντελευτήσας ἀσεβείαι ἀπὸ πάσης ἐκκλησίας ἐξεβλήθη. ἀμέλει

VM

16 λέγωσί V 19 βαλλεντινω M βασιλίδη V βασιλιδι M 20 θεοδώρου V 21 οἷς om. V
26 ἐκκλησιασ MV *ecclesiae doctores* Λ τυγχάνοντασ V 27/28 δέξονται VM

Quoniam autem quidam uerba pro Theodoro facientes, cum proferuntur impia eius conscripta, propter insertam eis blasphemiam confingunt quidem dicere quod impia sunt, ipsum autem qui talem impietatem euomuit, recusant anathematizare, miramur eorum dementiam quod diuinae scripturae contraria agunt euidenter dicenti quia aequaliter horribilia sunt apud deum impius et impietas eius. actio enim cum actore punietur; si autem similiter impietati horribilis est deo et ille qui impie agit, certe separatus est talis a deo et anathemati iuste subicitur. anathema enim nihil aliud significat nisi a deo separationem, sicut in ueteri et nouo testamento iudicium de anathemate significat. quod autem et dominus eos qui non permanent in uerbo ueritatis ipsius, separatos esse ab ecclesia dicit, in euangelio secundum Iohannem Iudaeos alloquens sic ait: omnis qui facit peccatum, seruus est peccati. seruus autem non manet in domo in aeternum, filius autem permanet in aeternum. quod autem quam dominus nominat domum, diuina scriptura ecclesiam dei uiui uocat, apostolus testatur in epistola prima ad Timotheum.

Si uero quidam dicunt non oportere Theodorum post mortem anathematizari, sciant qui talem haereticum defendunt, quod omnis haereticus usque ad finem uitae in suo errore permanens iuste perpetuo anathemati et post mortem subicitur. et hoc in multis haereticis et antiquioribus et propioribus factum est, id est Valentino Basilide Marcione Cerintho Manichaeo Eunomio et Bonoso. hoc autem idem et in Theodoro factum est et in uita accusato et post mortem anathematizato a sanctis patribus, quibus si credere noluerint ut haeretici eius defensores, uel impiae epistolae, quam ipsi defendunt, credant, quae licet Theodorum conlaudet, manifeste tamen dicit quod in ecclesia a sanctis patribus anathematizatus est et ex illo plurima inquisitio facta est de eius conscriptis utpote plenis impietate. hoc autem tunc faciebant catholicae ecclesiae doctores, ne simpliciores legentes illius impia conscripta a recta fide declinarent. quod autem impii, licet non in uita in suam personam anathema susceperint, tamen et post mortem anathematizantur a catholica ecclesia, ostenditur a sanctis synodis. Nicaena enim synodus eos qui impiam Arrii sectam colunt, sine nomine anathematizauit; quae autem in Constantinopoli congregata est, impiam Macedonii haeresin similiter condemnauit, sed tamen sancta dei ecclesia et post mortem Arrium et Macedonium nominatim anathematizat. cum autem ex multis probationibus conuincuntur quod superuacue et impie agunt qui Theodorum et impietatem eius defendunt, ad aliam uanam occasionem confugiunt dicentes non oportere eum anathematizari eo quod in communicatione ecclesiarum mortuus est. oportebat autem scire eos quod illi moriuntur in communicatione ecclesiarum qui commune pietatis dogma quod in uniuersali ecclesia praedicatur, usque ad finem seruauerunt, iste autem usque ad mortem in sua permanens impietate ab omni ecclesia eiectus est. itaque et omnis plenitudo Mopsuestenae eccle-

---

PD

15 anathemari *D* 18 factus *D* marcioni *P* 19 bosono *P* 23 plenus *D* 25 sua *D* 31 et[1] *om. PD, corr. P* 34 in[2] *om. P*

τοι καὶ πᾶν τὸ πλήρωμα τῆς ἐν Μοψουεστίαι ἐκκλησίας, ἐν ἧι λέγεται ἐπίσκοπος γεγενῆσθαι, διὰ τὰς βλασφημίας, δι' ἅσπερ Ἕλλησί τε καὶ Ἰουδαίοις καὶ Σοδομίταις παρὰ τῶν ἁγίων πατέρων συνηριθμήθη, ἀπήλειψαν ἐξ ἐκείνου τῶν ἱερῶν τῆς ἐκκλησίας διπτύχων τὴν αὐτοῦ προ-
4 σηγορίαν, ὡς τὰ περὶ τούτου συστάντα κατὰ τὴν αὐτὴν πόλιν παρὰ τῆι συνόδωι τῆς ἐπαρχίας
L V 492 sq. M VIIII 275 sq. ὑπομνήματα δείκνυσιν. θαυμάζομεν τοίνυν τοὺς ἐκδικοῦντας Θεόδωρον οἰκειουμένους αὐτόν τε καὶ τὴν αὐτοῦ ἀσέβειαν, ὅπου γε ἡ ἐκκλησία, ἐν ἧι γέγονεν ἐπίσκοπος, ὡς αἱρετικὸν ἐκ πολλῶν τῶν χρόνων αὐτὸν ἀπεβάλετο. ὅτι δὲ ἐπὶ κατακρίσει οἰκείαι τὴν τοιαύτην προβάλλονται πρόφασιν οἱ Θεόδωρον ἐκδικοῦντες, ἔξεστιν γνῶναι καὶ ἐξ αὐτοῦ τοῦ ἐπὶ Ἰούδα γενομένου φοβεροῦ κρίματος. ἐκεῖνος γὰρ νομίσας λανθάνειν τὸν τὰ κρυπτὰ τῶν ἀνθρώπων γινώσκοντα
10 ἐκοινώνησεν τῶν μυστηρίων τοῖς ἀποστόλοις, ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὤνησεν ἡ μετὰ ὑποκρίσεως κοινωνία. ἀλλ' οὐδὲ τὸ καὶ μετὰ θάνατον αὐτοῦ δώδεκα ὀνομασθῆναι τοὺς μαθητάς, ὡς
Ioh. 20, 24 φησιν Ἰωάννης ὁ εὐαγγελιστὴς λέγων Θωμᾶς δὲ ὁ λεγόμενος Δίδυμος εἷς τῶν δώ-
L V 717 δεκα οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς ἢ ἐξαίρει τὸν Ἰούδαν τῆς κατακρίσεως ἢ συναριθμεῖσθαι ποιεῖ τοῖς ἀποστόλοις. ἀμέλει τοι μετὰ τὴν τοῦ κυρίου ἀνάληψιν οἱ ἀπό-
15 στολοι δι' οἰκείας ψήφου τὸν αὐτὸν Ἰούδαν καὶ μετὰ θάνατον κατεδίκασαν καὶ ἕτερον ἀντεισήγαγον. ὅτι δὲ ματαίαν πρόφασιν προβάλλονται λέγοντες μὴ δεῖν τοὺς τελευτῶντας αἱρετικοὺς ἀναθεματίζεσθαι, καὶ ἐξ αὐτῶν τῶν τοῦ κυρίου ῥημάτων ἀποδείξωμεν. τοὺς γὰρ ἀσεβεῖς
Mt. 8, 22 καὶ ἔτι ζῶντας νεκροὺς ὀνομάζει λέγων ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς,
PG 1029 ὥσπερ οὖν καὶ τοὺς δικαίους τελευτήσαντας ζῶντας ἀποκαλεῖ. λέγει γὰρ περὶ Ἀβραὰμ καὶ
Mt. 22, 32 Ἰσαὰκ καὶ Ἰακὼβ ὅτι ὁ θεὸς οὐκ ἔστιν νεκρῶν, ἀλλὰ ζώντων. εἰ τοίνυν κατὰ τοὺς ἐκείνων
21 λόγους οὐ χρὴ τοὺς αἱρετικοὺς τελευτῶντας ἀναθεματίζεσθαι, οὐδὲ ζῶντες αἱρετικοὶ ἀναθεμα-
Ioh. 14, 6 τισθήσονται, οὓς ὁ κύριος νεκροὺς ἀποκαλεῖ διὰ τὸ ἀποκεχωρισμένους αὐτοὺς εἶναι αὐτοῦ τοῦ εἰπόντος ἐγώ εἰμι ἡ ζωή, καὶ κατ' αὐτοὺς λοιπὸν οὔτε ζῶντες οὔτε τελευτῶντες αἱρετικοὶ
Gal. 1, 9 ἀναθεματισθήσονται καὶ μάτην κατ' ἐκείνους ἡ ἀποστολικὴ διδασκαλία παραδέδωκεν ἀναθεμα-
25 τίζεσθαι τοὺς παραδιδόντας παρ' ὃ παρελάβομεν· μάτην αἱ ἅγιαι σύνοδοι τοὺς αἱρετικοὺς κατέκριναν· μάτην καὶ οἱ ἄλλοι ἅγιοι πατέρες καὶ διδάσκαλοι τῆς ἐκκλησίας τοὺς αἱρετικοὺς ἀνε-
Ier. 31, 10 θεμάτισαν. μέμψωνται δὲ καὶ Ἱερεμίαι τῶι προφήτηι εἰπόντι ἐπικατάρατος ὁ ποιῶν
Ps. 118, 21 τὰ ἔργα κυρίου ἀμελῶς καὶ Δαυὶδ τῶι προφήτηι λέγοντι ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου καὶ συντόμως εἰπεῖν πάσηι τῆι θείαι γραφῆι πολλαχοῦ τὰς τοιαύτας
30 κατακρίσεις ἐπαγούσηι τοῖς ἀσεβέσιν. εἰ δὲ οἱ ἀμελῶς ποιοῦντες τὰ ἔργα κυρίου καὶ ἁμαρτάνοντες περὶ τὰς αὐτοῦ ἐντολὰς τοιαύταις κατακρίσεσιν ὑποβάλλονται, πόσωι μᾶλλον Θεόδωρος ὁ ἀσεβὴς ὁ τοιαῦτα κατ' αὐτοῦ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ βλασφημήσας δικαιότερον κατακέκριται καὶ ἀναθεματίζεται.

Καὶ ἤρκει μὲν ταῦτα πρὸς ταῖς παρατεθείσαις ἀνωτέρω τε καὶ ἐν ἑτέροις ἡμῶν λόγοις ἀπο-
35 δείξεσι περὶ τοῦ δεῖν καὶ μετὰ τελευτὴν τοὺς αἱρετικοὺς κατακρίνεσθαι καταισχῦναι τοὺς Θεοδώρου μεταποιουμένους καὶ παῦσαι τῆς τοιαύτης ἀσεβείας. διὰ δὲ τὸ ἐνφιλονείκως τοῖς αὐτοῖς ἐπιμένειν τὸ πλέον ἐροῦμεν ὅτι τινὲς τῶν συναχθέντων ἐν τῆι κατὰ Νίκαιαν ἁγίαι συνόδωι καὶ ὑπογράψαντες τῶι ἐκτεθέντι παρ' αὐτῆς ὅρωι ἤτοι συμβόλωι τῆς πίστεως, ἐπειδὴ

---

4 synodus Mopsuestena consedit d. 17. m. Iun. a. 550

VM

1 μομψουεστία VM 3 τούτου V 7 ἀπεβάλλετο V 10 ὄνησε καὶ V 22 κεχωρισμένουσ M αὐτοὺς om. V 25 παρελάβαμεν V 27 μέμψονται VM 35 καταισχύνην V 36 παύσονται V

siae, in qua episcopus dicitur fuisse, cum inuenisset quod paganis et Iudaeis et Sodomitanis a sanctis patribus connumeratus est, deleuerunt ipsi ex illo a sacris ecclesiae diptychis eius nomen, sicut gesta in eadem ciuitate apud concilium episcoporum illius prouinciae confecta ostendunt. miramur igitur Theodori sequaces, qui eum et impietatem eius tamquam suam defendunt, cum ecclesia in qua fuit episcopus, utpote haereticum ex multis temporibus eum eiecit. quod autem ad condemnationem suam talem occasionem proponunt defensores Theodori, scire licet et ex ipso aduersus Iudam facto tremendo iudicio. ille enim cum putasset latere eum qui occulta hominum cognoscit, sacramentis communicauit apostolicis, sed tamen nihil ei profuit quod cum dolo communicauit. sed licet post mortem eius duodecim nominati sint discipuli, sicut Iohannes euangelista dicit Thomas autem, qui Didymus dicebatur, unus ex duodecim non erat cum ipsis quando uenerat Iesus, tamen hoc non liberat Iudam a condemnatione aut connumerari facit apostolis. unde post ascensionem domini apostoli per suam sententiam eundem Iudam etiam post mortem condemnauerunt et alium pro illo introduxerunt. quod autem uanam occasionem proponunt dicentes non oportere haereticos mortuos anathematizari, et ex ipsis domini uerbis ostendemus. impios enim et adhuc uiuos mortuos nominat dicens dimitte mortuos sepelire suos mortuos, sicut iustos etiam defunctos uiuos nominat. dicit enim de Abraham et Isaac et Iacob quod deus non est mortuorum, sed uiuorum. si ergo secundum uerba illorum non oportet haereticos mortuos anathematizari, nec uiui haeretici anathematizabuntur, quos dominus mortuos uocat, quia separati sunt ab ipso qui dixit ego sum uita, et secundum eos iam nec uiui nec mortui haeretici anathematizabuntur et sine causa secundum illos apostolica doctrina tradidit anathematizari eos qui tradunt praeter quod accepimus, sine causa sanctae synodi haereticos condemnauerunt, sine causa et alii sancti patres et doctores ecclesiae haereticos anathematizauerunt. inculpent autem et Ieremiam prophetam dicentem execrandus qui opera domini neglegenter facit et Dauid prophetam dicentem execrandi qui declinant a mandatis tuis et ut compendiose dicamus, omnem diuinam scripturam in diuersis locis tales condemnationes impiis inferentem. sin autem illi qui neglegenter opera dei faciunt et peccant in mandatis eius, talibus condemnationibus subiciuntur, quanto magis impius Theodorus, qui talia aduersus ipsum magnum deum et saluatorem nostrum Iesum Christum blasphemauit, iuste condemnatus est et anathematizatur.

Et haec quidem sufficiebant super memoratas et in aliis nostris libris insertas probationes, quas protulimus ostendentes quod oportet etiam post mortem haereticos condemnari, confundere eos qui Theodorum defendunt, et compescere a tali impietate. quoniam autem contentiose in iisdem permanent, etiam, quod est amplius, dicemus quia quidam ex ipsis qui in Nicaena sancta synodo conuenerunt et expositae ab ea fidei definitioni uel symbolo subscripserunt, quoniam postea contraria sapientes apparuerunt, alii quidem uiui,

---

PD

8/9 apostolis *PD, corr. P* 16 ostendimus *D* 22 anathematizare *P* 30 iuste *P* iste *D* 31 anathematizatus *P* 37 apparunt *D*

μετὰ ταῦτα ἐναντία φρονήσαντες ἐφάνησαν, οἳ μὲν ζῶντες, οἳ δὲ μετὰ θάνατον ἀνεθεματίσθησαν παρὰ Δαμάσου τοῦ τῆς ὁσίας μνήμης πάπα τῆς πρεσβυτέρας Ῥώμης καὶ τῆς ἐν Σαρδικῇι οἰκουμενικῆς συνόδου, καθ' ἃ μαρτυρεῖ ὁ ἐν ἁγίοις Ἀθανάσιος, ἀλλὰ καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος Δόμνον τὸν Ἀντιοχείας γενόμενον ἐπίσκοπον μετὰ θάνατον κατεδίκασεν τολμήσαντα μόνον γράψαι δεῖν παρασιωπηθῆναι τὰ ιβ κεφάλαια τοῦ ἐν ἁγίοις Κυρίλλου.

Ἐπειδὴ δὲ οἱ Θεοδώρου ἀντιποιούμενοι αἱρετικοὶ πάσης προτάσεως καὶ ἐγχειρήσεως ἐκπεπτωκότες ἐπιχειροῦσι λέγειν πρὸς ἀπάτην τῶν ἀγνοούντων ὡς ὁ τῆς ὁσίας μνήμης Κύριλλος ἔν τινι μέρει ἐπιστολῆς τοῦτον ἐπήινεσεν, ἐκ πολλῶν ἀποδείκνυται ὅτι οὐ συμβαίνει τὸ αὐτῶν ἐγχείρημα τοῖς εἰρημένοις παρὰ τοῦ ἐν ἁγίοις Κυρίλλου ἐν διαφόροις αὐτοῦ λόγοις κατὰ τοῦ δυσσεβοῦς Θεοδώρου, ἐν οἷς ἀσεβέστερον αὐτὸν πάντων τῶν ἄλλων αἱρετικῶν ἀποδείξας εἶτα
L V 720 οὐκ ἐνεγκὼν τὸ πλῆθός τε καὶ μέγεθος τῶν αὐτοῦ βλασφημιῶν τῶν εἰρημένων κατὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπεφθέγξατο οὕτως εἰπών

Ier. 2, 12 Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτωι καὶ ἔφριξεν ἐπὶ πλέον σφόδρα, λέγει κύριος.
Ps. 74, 6 ὦ τῆς ἀφορήτου σκαιότητος, ὦ γλώσσης λαλούσης ἀδικίαν κατὰ τοῦ θεοῦ καὶ φρενὸς ὑψοῦ τὸ κέρας αἰρούσης.

Καὶ πάλιν

Ἐπίθες, ἄνθρωπε, τῆι σαυτοῦ γλώττηι θύραν καὶ μοχλόν, παῦσαι τὸ κέρας εἰς ὕψος ἐπαίρων καὶ λαλῶν ἀδικίαν κατὰ τοῦ θεοῦ. μέχρι τίνος ἐπιπηδᾶις ἀνεξικακοῦντι Χριστῶι; εἰς νοῦν
PG 1031 ἔχε τὸ γεγραμμένον παρὰ τοῦ θεσπεσίου Παύλου οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελ-
1 Cor. 8, 12 φοὺς καὶ πλήττοντες αὐτῶν ἀσθενοῦσαν τὴν συνείδησιν εἰς Χριστὸν ἁμαρτάνετε.
cf. Thren. 4, 66 καὶ ἵνα τι καὶ ἐκ προφητικῶν φθέγξωμαι βιβλίων, ἐδικαιώθη Σόδομα ἐκ σοῦ, νενίκηκας τὰς
Ezech. 16, 48 Ἑλλήνων ἀθυροστομίας ἃς ἐποιήσαντο κατὰ Χριστοῦ μωρίαν ἡγούμενοι τὸν σταυρόν, οὐδὲν ὄντα
1 Cor. 1, 18 διέδειξας τὰ τῆς Ἰουδαικῆς ἀπονοίας ἐγκλήματα.

Τούτων τοίνυν οὕτως ἐπὶ κατακρίσει τοῦ ἀσεβοῦς Θεοδώρου ὑπὸ τοῦ ἐν ἁγίοις Κυρίλλου εἰρημένων εἰ καὶ δοίη τις κατὰ τοὺς ἐκείνων λόγους τὸν ἐν ἁγίοις Κύριλλον εἰρηκέναι τι ὑπὲρ Θεοδώρου, οὐδὲ τοῦτο ἐξαιρεῖται αὐτὸν τῆς κατακρίσεως. εὑρίσκομεν γὰρ ὡς πολλοὶ τῶν ἁγίων πατέρων τινὰς τῶν αἱρετικῶν ἀπεδέξαντο, ὥσπερ καὶ οἱ ἐν ἁγίοις Δάμασος καὶ Ἀθανάσιος καὶ Βασίλειος Ἀπολινάριον, καὶ Λέων δὲ ὁ τῆς ὁσίας μνήμης Εὐτυχέα, καὶ ὅμως ἐπειδὴ φανερὰ γέγονεν ἡ τούτων ἀσέβεια, οὐκ ἐξέφυγον διὰ τὴν τοιαύτην ἀποδοχὴν οἱ αἱρετικοὶ τὴν μετὰ ταῦτα εἰς οἰκεῖον πρόσωπον καὶ τὴν αὐτῶν ἀσέβειαν γενομένην κατάκρισίν τε καὶ ἀναθεματισμόν.

Τοσαύτη δέ ἐστιν ἡ μανία τῶν Θεόδωρον ἐκδικούντων ὅτι τολμῶσι καταψεύδεσθαι καὶ Γρηγορίου τοῦ θεολόγου καὶ Ἰωάννου τοῦ Κωνσταντινουπόλεως ὡς ἐπιστολὰς πρὸς τὸν αὐτὸν Θεόδωρον ἀποστειλάντων πεπληρωμένας ἐπαίνου, ὅπερ ψεύδους ἐστὶ μεστόν. Γρηγόριος μὲν γὰρ ὅτε ὑπὲρ

1–2 cf. Turner, Monumenta etc. 1, 285 sq. 2/3 Athanasius, Apol. II 49 3–5 = Conc. L V 546 M VIIII 343. ceterum Domnus non Chalcedone condemnatus est, sed Ephesi a. 449, cf. Acta concilii Epheseni alterius [Abhandlg d. Gött. Ges. d. Wiss. N. F. XVI p. 145], neque mortuus est ante concilium Chalcedonense, cf. Act. Conc. II 3 p. 444, 20 sq. 7/8 cf. Conc. L V 482. M VIIII 263. Act. Conc. I 5 p. 314 13–15 = Conc. L V 458. 487. M VIIII 232. 269 17–23 = L V 487. M VIIII 270 27–29 cf. Conc. L V 489. M VIIII 272 34 sq. cf. Conc. L V 476 sq. M VIIII 256 sq. et quae exposui Act. Conc. II 5 p. XX. XXI

VM

7 ἐπεχείρησαν V 13 πλείω V 14 ἀπορρήτου V φρενὸς ὑψοῦ om. V 21 φθέγξομαι VM τὰς] τὰ M 32 τῶν τὸν M 33 τὸν om. V

alii autem post mortem anathematizati sunt a Damaso sanctae memoriae papa antiquioris Romae et ab uniuersali Sardicensi synodo, prout testatur sanctus Athanasius, sed et Calchedonensis sancta synodus Domnum Antiochiae factum episcopum post mortem condemnauit, quod ausus est scribere oportere solum taceri duodecim capitula sancti Cyrilli.

Quoniam autem Theodori defensores haeretici omni propositione et conatu excidentes praesumunt dicere ad deceptionem ignorantium quod sanctae memoriae Cyrillus in aliqua parte epistulae illum collaudauit, ex multis ostenditur quod non conuenit eorum conamen dictis a sancto Cyrillo in diuersis eius libris contra impium Theodorum, in quibus magis impium omnibus aliis haereticis eum ostendens, deinde non sustinens plurimas et maximas eius blasphemias contra magnum deum et saluatorem nostrum Iesum Christum dictas exclamauit ita dicens:

Expauit caelum super hoc et horruit amplius uehementer, dicit dominus. o intolerabilem malignitatem, o linguam loquentem iniquitatem contra deum et mentem in altitudinem cornu extollentem.

et iterum

